5. *τὸ τεῖχος ἔδει τὸ τεῖχος ἀνάλωτον* Ms. (le premier *τὸ τεῖχος* est de seconde encre).

μυθολόγημα συγγραφῆς. [3] *Οὕτω τοίνυν ἀποτόμου πρὸς ἅλωσιν ὄντος, ὀλίγον ἔμελε τοῖς ἐνοικοῦσι πολιορκίας, ἀφθόνου τροφῆς αὐτοῖς κεχυμένης καὶ πηγῆς ἔνδον ὑδάτων συντελούσης περιουσίαν, ὥστε τοῖς μὲν ὑπῆρχε κατὰ*(6) *πολλὴν ἐξουσίαν τρυφᾶν, τοῖς δὲ περιβαλλομένοις*(7) *τὸ φρούριον ἀνόνητα πιέζεσθαι καὶ πονεῖν τῷ μήκει*(8) *τῆς προσεδρείας.* [4] *Τοιαύτας εἶχόν σοι τὰς φροντίδας αἱ νύκτες, τοιοῦτοί σοι μεθ' ἡμέραν ἔστρεφον τὴν ψυχὴν λογισμοί.* [5] *Καί ποτε κύκλῳ περισκοπῶν τὸ χωρίον, κατανοήσας τὸν ἔξω φέροντα πόρον τῶν ἔνδον ὑδάτων τὸ περιττὸν καὶ τῷ προσώπῳ μηνύσας ὡς ἐξεύρηταί σοι τὸ πάλαι ποθούμενον καὶ παραδοὺς ὥσπερ ἄλλο τι μάθημα τῇ διανοίᾳ, νύκτα φυλάξας — οὐ γὰρ ἦν ὑφ' ἡλίῳ τὸ βούλευμα*(9) *προελθεῖν — καὶ τῆς νυκτὸς ὕπνου τοῦ πρώτου καιρὸν, ὅθ' ἡ*(10) *μεγίστη τῶν αἰσθήσεων ἡσυχία δοκεῖ, τότε τοῖς ὕδασιν ἐπιτρέψας τὸ σῶμα, οὐδὲ συστρατιώτας ὅτι μὴ δύο λαβὼν, καθεύδοντι τῷ φύλακι τῶν πυλῶν ἐπιστὰς, τὸν μὲν ὀξέως ἀνεῖλες, ὅπως μὴ λάθοι τοῦ τολμήματος μηνυτὴς γεγονὼς, ὀλολυζούσης δέ οἱ*(11) *τῆς γυναικὸς οἰμωγῇ τε χρωμένης καὶ κηρυττούσης τὸ γεγονὸς, σὺ μὲν εἱστήκεις οὐδὲν ὑφορώμενος ὡς ἐπαμῦναί σοι καλουμένων οὓς ἐπὶ σὲ βοῶσα συνῆγε· τῶν δὲ πολεμίων οἱ μὲν ὥσπερ ἐν ὀνείρατι βοῆς γινομένης ἐπὶ τῆς εὐνῆς ἐταράττοντο, τοὺς δὲ, οἷον εἰκὸς ἄρτι γευσαμένους ὕπνου καὶ πολεμίας ἐπιβουλῆς ἀπροσδοκήτου*(12) *συμβάσης, οὐ μέτριον ἔλαβε δέος, καὶ δᾷδας*(13) *αὐτοῖς*(14) *ἐπιφέροντες*(15) *ἐλάνθανον ὑμῖν*(16) *χορηγοῦντες τὸ φῶς, ὅθεν ὁ δεύτερος ἀεὶ προσιὼν ἀγνοίᾳ τοῦ πρώτου προσέπιπτέ σου*(17) *τῷ ξίφει· καὶ συχνῶν ἤδη σοι τῶν οἰκείων εἰσχεομένων τὰς πύλας ἀναπε-*

---

6. ...$\overset{\alpha}{\tau}$ Ms. (mangeure de ver).
7. *περιβ... ομένοις* Ms. (mangeure de ver).
8. *μ.κει* Ms. (mangeure de ver).
9. *βούλημα* Ms.
10. *ὅθ' ἡ*] *ὅση* Ms.
11. *δὲ οἱ* (à ce qu'il semble) Ms. [Ces deux lettres peuvent n'avoir été, dans un des manuscrits précédents, que le commencement d'*οἰμωγῇ*, écrit par anticipation. — Réd.]
12. *ἀπροσδο..του* Ms. (mangeure de ver).
13. *δέος .... ᾷδας* (ou *ᾴδας*?) Ms. (mangeure de ver).
14. *αὐτοῖς* Ms.
15. *ἐπιφέροντες*] Cf. § VII, 2.
16. Boissonade, page 29, note 1: «Frequens pronomen *ὑμέτερος* pluralis »significationis pro *σός* in recentioribus auctoribus, et *ὑμεῖς* pro *σύ*. Monui »ad Simocattae epistolas, p. 364, memor lòci Choriciani» (p. 29, l. 5, *τοῖς ὑμετέροις ἴχνεσιν*, en parlant au seul Summus) «et aliorum. Sic statim »*ὑμᾶς* pro *σέ*» (p. 29, l. 17). Cf. encore p. 29, l. 14: p. 33, l. 5 d'en bas: p. 81, l. 3: p. 110, l. 16: p. 111, l. 6: p. 252, l. 8.
17. *σοι* Ms.

τάσαντι, τότε πρῶτον ἠλέγχθη τὸ φρού-[fol. 31]*ριον οὐ πᾶσιν ἄμαχον πεφυκός.* [6] *Ἓν δ' ἄρα κέρδος προσεγένετο τοῖς πολεμίοις ὅτι τῇ πείρᾳ μετέμαθον ὡς οὐδέν* (18) *ἐστιν ἀνάλωτον ἀρετῇ* (19). [7] *Ἐνταῦθα δὴ διὰ πάντων ἐχώρει τὰ ξίφη, καὶ τῶν πολεμίων οἱ μὲν πρὸ τῶν ἄλλων πεσόντες αὐτῷ τῷ πρῶτοι* (20) *παθεῖν τὴν ἀξίαν δίκην ὑπεῖχον, οἱ δὲ τὸν χρόνον κερδᾶναι δοκοῦντες ὅσος ἐδαπανᾶτο ταῖς προτέραις σφαγαῖς τῇ θέᾳ τῶν συμφορῶν ἐκολάζοντο, ὥστε τὸν ἴσον ἅπαντας ὑποστῆναι σωφρονισμόν* (21). [8] *Εἰ μὲν οὖν μὴ πολλοὶ πρότερον καὶ δεινοὶ τὰ πολέμια στρατηγοὶ πειράσαντες τοῦ χωρίου πολλάκις ἔγνωσαν ἀδυνάτων ἐρῶντες* (22), *ἴσως ἂν εἶχεν ὁ φθόνος ἀσθένειαν αἰτιάσασθαι τοῦ φρουρίου καὶ ταύτῃ βραχύ σου τῆς εὐδοξίας ἀποσυλῆσαι· νῦν δέ, πολλῶν μὲν ἐγχειρησάντων, οὐδενὸς δὲ δεδρακότος οὐδέν, οἱ πρὸ τῆς σῆς ἀριστείας ἀποτυχόντες μάρτυρες γίνονται τοῦ μεγέθους τῆς νίκης.* [9] *Στρατήγημα φοβερὸν καὶ πρὶν γενέσθαι μὴ πιστευόμενον· εἰσῆλθέ σε πρᾶγμα τοσοῦτον, εἰσελθὸν ἐτολμήθη, τολμηθὲν οὐ διήμαρτεν.* [10] *Ἐνταῦθα λοιπὸν* (23) *ἀναγκάζομαι καὶ νόμον τινὰ παραβῆναι τῆς τέχνης* (24)· *ἐκείνη* (25) *κελεύει* (26) *τὸν ἐπαινέτην ὃν εὐφημεῖ παραβάλλειν ὁμοίοις ἀνδράσι* (27) *πάλαι γεγενημένοις· ἡμεῖς δὲ πολλοὺς μὲν ἠκούσαμέν τε πολέμους καὶ μεμαθήκαμεν* (28)· *οὐ μὴν ἴσμεν τοιοῦτον πώποτε τρόπον νίκης* (29) *παρειληφότες* (30)·

---

18. *οὐδέν ἐστιν ἀνάλωτον ἀρετῇ*, fragment *ια'* chez Boissonade, p. 283.
19. Cf. *Éloge de Summus*, p. 29-30, Boisson., *ἔδειξεν ἡ πεῖρα σαφῶς ὡς οὐδὲν ἄπρακτον ὅπου ἂν τύχῃ Σοῦμμος παρών.*
20. *πρώτ*^{οι} Ms.
21. Cf. § VI, note 5.
22. Cf. Euripide, *Hercule furieux*, 318, *ἀδυνάτων ἔοικ' ἐρᾶν*: Lucien, *Dialogues des Dieux*, VIII (à la fin), *πλὴν οἶδα ὅτι ἀδυνάτων ἐρᾷς.* Cf. aussi le proverbe *Ἀδύνατα θηρᾷς· ἐπὶ τοῦ ἐγχειροῦντος μείζοσιν ἢ καθ' ἑαυτὸν*, Zénobios, dans le vol. I des *Parœmiographes grecs* de Leutsch et Schneidewin, et la note des éditeurs; puis Macarios, I, 26, dans le vol. II, et la note.
23. *λοι . . . ἀναγκάζομαι* Ms. (mangeure de ver).
24. Cf. *Éloge de Marcien*, II, p. 125, l. 5, Boisson., *ὑπόλοιπόν ἐστί μοι πρὸς τοὺς πάλαι τεμένη δημιουργήσαντας τὸν ἱερέα παραβαλεῖν . . . . νομοθετούσης οὕτω τῆς τέχνης.* Chorikios rappelle volontiers dans ses discours les préceptes de la rhétorique. Cf. encore *Oraison funèbre de Marie*, p. 39, l. 3 d'en bas, *εἰ τῶν παίδων ἐγκώμιον ἔγραφον, ἔδει κατὰ νόμον ῥητορικὸν ἐκ τῶν γονέων αὐτοὺς ὡραΐσαι.*
25. *ἐ. . .'νη* Ms. (mangeure de ver).
26. Cf. § X, 8, *ἡ τέχνη κελεύει κτλ.*
27. *ἀνδράσιν* Ms.
28. *μεμσθήκαμεν* (*sic*) Ms.
29. *νίκη* Ms.
30. Bélisaire se servit, peu de temps après (en 536), du même procédé pour prendre Naples. (Procope, *Guerre Gothique*, I, 10.) Ed. de Muralt, *Essai de chronographie byzantine*: «An 536. Naples. Après vingt jours de

ὅθεν ἐπ' ἄλλο τι τῶν σῶν μεταβήσομαι, τῆς πρὸς τοῦτό μοι παραθέσεως(31) *ἀπόρως ἐχούσης.*

§ V. *Πορείαν οὖν ἄβατον οὐ τῷ*(1) *πλήθει τῆς ὕλης κατὰ τὴν ἐξ Ὀδρυσῶν*(2) *ἐπὶ Παίονας ὁδὸν, ἣν ὡμάλισεν ὁ Σιτάλκης, δασείας δ' ὕλης καὶ πυκνῆς τραχυτέραν ἐφόδοις Σαρακηνῶν ἰδεῖν μὲν ἀγρίων, ἀδικίᾳ*(3) *δὲ χαλεπωτέρων, τὴν τοιαύτην πορείαν εὐκόλως ἡμέρωσας, στρατιώταις οὐδὲ εἴκοσιν ἀριθμὸν τοὺς ἐν ταῖς ὁδοῖς ὀχληροὺς ἐξαπειλῶν*(4) *ἀναστήσας.* [2] *Ταύτην ἐγώ σου τὴν νίκην τιμιωτέραν φημὶ τῶν ὅπλοις καὶ πυρὶ καὶ σιδήρῳ σοι πεπραγμένων*(5). [3] *Πολυχειρίας μὲν γὰρ κατορθούσης, πάντες μερίζονται τῶν εἰργασμένων τὴν δόξαν, ἄλλων ἄλλους καταβαλόντων*(6), *κἂν ὁ στρατηγὸς τῇ τραγῳδίᾳ*(7) *δοκῇ τὴν εὔκλειαν ἄρνυσθαι*(8)· *ὅτε δὲ τῇ φήμῃ τοῦ στρατηγοῦ τὸ δυσμενὲς ὑποκύπτει*(9), *ἕνα δεσπότην ἔχει καὶ κληρονόμον ἡ νίκη τὸν ἐμβαλόντα τὸ δέος.* [4] *Καὶ τὰ μὲν δι' ἀγῶνός τε καὶ χειρῶν καὶ ὀργάνων τῆς μάχης ἱστάμενα τρόπαια πολλὰς δίδωσι τοῖς ἡττωμένοις παραμυθίας ἐμφάσεις — καὶ γὰρ τύχης ἐπιβουλὴν αἰτιάσασθαι καὶ χωρίων ἀσθένειαν καὶ τὸ τοὺς πολεμίους ἐξαίφνης ἐπιπεσεῖν καὶ δόλους δὴ*(10) *καὶ ἀπάτας, καὶ μυρία τοιαῦτα τοῖς ἡττωμένοις*(11) *ὑπάρχει*

»siége, Bélisaire *pénètre dans la ville par l'aqueduc* et fait huit cents »prisonniers.»

31. *παραθέσεως*] Cf. § V, 5.

§ V.] 1. *οὕτω* Ms.

2. *ἔξω δρυσῶν* Ms. — Chorikios se souvient ici de Thucydide (II, 98).

3. *ἀδικεῖν* Ms.

4. Ou *ἐξ ἀπειλῶν*? Le composé *ἐξαπειλῶν* manque aux lexiques. On pourrait conjecturer encore *ἀπειλῶν ἐξαναστήσας*, ou *ἐξαναστήσας ἀπειλῶν*.

5. Cf. *Éloge de Summus*, p. 30, l. 4, Boisson., *ταύτην ἐγὼ τὴν διάλυσιν παντὸς εἶναί φημι τροπαίου τιμιωτέραν.*

6. *καταβαλλόντων* Ms.

7. Cf. plus bas, § XII, 3, *μὴ τοιοῦτος ὢν ὁ Περσεὺς ὑπόπτερος ὠνομάσθη τῷ μύθῳ*: de même, § III, 11, *αὐτὸς δὲ κατὰ τὴν ποίησιν κτλ.*: *Oraison funèbre de Procope*, p. 17, l. 3 d'en bas, Boisson., *« ἐσθλοῦ γὰρ ἀνδρός » ἡ τραγῳδία φησίν « ἅπαντα φέρειν καλῶς »*: *Éloge de Marcien*, II, p. 110, l. 3 d'en bas, *εἴ γε, κατὰ τὴν τραγῳδίαν, φιλόψογόν ἐστι τὸ φῦλον (τῶν γυναικῶν)*: *Oraison funèbre de Marie*, p. 48, l. 6, *ἐκείνην ὀλβίαν προσεῖπεν ἂν εἰκότως ἡ τραγῳδία, ἥπερ εὐτυχῶς τὴν τελευταίαν ἐπέρασεν ἡμέραν*: *Description de l'horloge*, p. 151, l. 1 d'en bas, *ταύτην (τὴν Γοργὼ) ἂν εἶπεν ἡ τραγῳδία αἱματωπόν τε καὶ δρακοντώδη κόρην*: *Éloge de Marcien*, II, p. 114, l. 9 d'en bas, *(κίονες) « λευκότεροι χιόνος » κατὰ τὴν ποίησιν*: *Description du tableau*, p. 158, l. 5 d'en bas, *ὄρνιθας ἃς πελειάδας μὲν εἶπεν ἡ ποίησις.*

8. Euripide, *Andromaque*, 696, *ὅταν τρόπαια πολεμίων στήσῃ στρατὸς, || οὐ τῶν πονούντων τοὔργον ἡγοῦνται τόδε, || ἀλλ' ὁ στρατηγὸς τὴν δόκησιν ἄρνυται || κτλ.*

9. Cf. § II, note 3.

10. *δόλου . . ἡ* Ms. (mangeure de ver).

11. *ἡτ . ωμένοις* Ms. (mangeure de ver).

[illegible] τὸ δὲ πρὸ τῆς
[illegible] ἔχει τοιαύτην.
[illegible] ἕτοιμος ἐγὼ
[illegible] εἰς ἐξέτασιν,
[illegible] ἐρεῖς μοι τὸν
[illegible] ὂν εἰκὸς
[illegible] φαίνεται δὲ
[illegible] ὢν· δέκα μὲν
[illegible] — εἴ που ξύλι-
[illegible] ὅσῳ τὸ φο-
[illegible] ὁ παρὼν
[illegible]

[illegible] τοῦ στρατηγοῦ [illegible]
[illegible] ἐπαίδευσεν [illegible]
[illegible] [2] Μοῖρα [illegible]
[illegible] πόλεις τὰς ὁμόρ[illegible]
[illegible] οὐ πολλὰν [illegible]
[illegible] οὐ τοὺς ὅρους [illegible]
[illegible] [3] Ταῦτά σοι [illegible]
[illegible] εἰς ἄβου· [illegible]

[illegible] p. 6, l. 8, Bois[illegible] de même Tyr[illegible] et p. 73, l. 1, [illegible]

[illegible] paraisse incorrect (voy. Krü[illegible] pas qu'il y ait là [illegible] peut rapprocher d'au[illegible] § VII, 3, ὅτου δέοιτο, e[illegible]

[illegible] <τοῦτο> (ce mot [illegible] μὲν τὸν Ὅμηρον [illegible] Thucydide, I, 10, 3, τὴν στ[illegible] γενέσθαι τῶν πρὸ αὐτῆς, λει[illegible] εἴ τι χρὴ κἀνταῦθα πιστεύειν, [illegible] ὅμως δὲ φαίνεται καὶ οὐ[illegible]

16. καὶ paraît ici nécessaire.

[VI,] 1. A [illegible] Aratus succède celui du gouverneur Stéphane
2. Τῷ στρατηλάτῃ = *Dux*. — Ὁ τῆς Παλαιστίνης κυβερνῶν = *Praes Palaestinae* ou, pour désigner ce magistrat par son titre spécial, *Consular Palaestinae*.
3. Faut-il ἐμπόδιον? Cf. *Éloge de Marcien*, I, p. 87, l. 13, Boisson., μὴ [illegible] ἐμπόδιον [illegible] φθεγγομένῃ: Polybe, IV, 81, 4 [illegible] δὲ μέγιστον ἐμπόδιον [illegible] αὐτῷ πρὸς τὴν ἐπιβολὴν τὸν Λυκοῦργον κτλ.

ἠρέθισε (4) προπηδήσας τοῦ λογισμοῦ· δύναμιν γὰρ ἀποχρῶσαν ἀγείρας, τὴν ἐκείνων ἐσωφρόνισας (5) ἀκρασίαν, πανταχόθεν ἠλλοτριωμένην (6) συγγνώμης· οὐ γὰρ ἔρως ἦν ὁ τὴν ἀκολασίαν ποιῶν, ἵνα δοκῶσί τινα παραίτησιν (7) ἔχειν τοῦ πάθους δουλωσαμένου τὴν γνώμην, ἀλλὰ θρασύτης ἀσελγῶς ἐνυβρίζουσα.

§ VII. *Καὶ τοῦτο μὲν ἡμῖν τοῦ λόγου τὸ μέρος ἐνταῦθα πέρας ἐχέτω· δευτέρα δέ σου κηρύττεται πρᾶξις ἐκ τῆς Καισαρέων ἅμα καὶ τῶν ἐκείνης ὁμόρων.* [2] *Τὰς γὰρ ἐν μέσῳ τῶν πόλεων κακούργων ἐνέδρας ἐπισφαλεῖς λεωφόρους, αἷς οὐδὲ στρατιώτης ἀνὴρ ἐχρῆτο θαρρῶν, νυνὶ* (1) *καὶ παιδίον ἀκινδύνως πορεύεται· κἂν ἤδη λιπούσης τῆς ἀκτῖνος* (2) *ἀνὴρ ὁδοιπόρος ἐξ ἑτέρας τῶν πόλεων ἐπὶ τὴν ἑτέραν ἰὼν μεταξύ που καθεύδῃ* (3) *χρυσὸν ἐπιφέρων* (4), *ἄσυλον αὐτῷ τὸ χρυσίον* (5) *ἐν ἐρημίᾳ καὶ νυκτὶ καὶ ὕπνῳ, τῆς τοῦ κέρδους ἐπιθυμίας τῷ φόβῳ παραχωρούσης.* [3] *Τέως δέ, τῶν ὁδῶν κεκλειμένων λῃστρικαῖς ἐπηρείαις, τὸ τῶν ἐπιμίξεων ἡδύ τε καὶ χρήσιμον τὰς πόλεις ἐξέλειπεν· ἡδὺ μὲν γὰρ ἐκδημοῦντας ἱστορῆσαι γείτονα πόλιν* (6), *ἡδὺ δὲ τὴν ἐπιθυμίαν ἐμπλήσαντας πάλιν ἐπὶ τὴν οἰκείαν ἰέναι· τό γε μὴν* (7) *κερδαλέον καὶ λυσιτελὲς οὐδὲ τὸν λίαν ἀπράγμονα καὶ διὰ παντὸς οἰκουροῦντα λανθάνει· καὶ γὰρ πλείονα πεῖραν πραγμάτων καὶ τριβὴν ὀξυτέραν καὶ τὸ ῥᾳδίως ὅτου δέοιτο* (8) *πορίζεσθαι τῶν πόλεων αἱ πρὸς ἀλλήλας ἐπιμιξίαι χαρίζονται· ἑκάστη γάρ, τὸ*

---

4. Cf. § I, 1, *πρὸς ἐπίδειξιν πρώτην ἐρεθίσαι*, et la note afférente à ce passage.

5. Cf. § IV, 1, *πικροτέρῳ ἐπῆλθε σωφρονισμῷ*: et 7, *τὴν ἴσον ἅπαντας ὑποστῆναι σωφρονισμόν*: *Tyrannicide*, p. 58, l. 9, Boisson., *τὴν . . . κακίαν οἴονται δεῖν σωφρονίζειν οἱ νόμοι.*

6. *ἠλλοτριωμένης* Ms. Cf. *Éloge de Marcien*, II, p. 110, l. 4 d'en bas, Boisson., *ἔπαινος δὲ γυναικῶν πάσης ἠλλοτρίωται κολακείας.* Cf. aussi Théodoret, *sur Daniel*, ch. 3 (t. II, p. 1116, Schulze), *καὶ μὴ παντελῶς ἡμᾶς τῆς σῆς προμηθείας ἀλλοτριῶσαι.*

7. *π..αίτησιν* Ms.

§ VII.] 1. *γυνὴ* Ms.: *νυνὶ* Tournier.

2. *ληγούσης* (à ce qu'il semble) *ἀκτῖνος* Ms.

3. *καθεύδει* Ms.

4. *ἐπιφέρων*] Cf. § IV, 5.

5. *χρυσίον* est écrit deux fois dans le Ms.

6. Voy. un développement tout semblable, sur le même motif, dans le second *Éloge de Marcien*, p. 124, Boissonade.

7. *γε μὲν* Ms. Au sujet de *γε μὴν*, voy. Hermann sur Viger, *De praecipuis Graecae dictionis idiotismis*, p. 826 (4e éd.).

8. Cf. § V, 5, *ὃν γὰρ ἄγοι*, et la note; puis § XII, 3, *ὅπου γῆς εἴης*: p. 64, l. 7, Boisson., (*βούλεται πληροῦσθαι*) *πᾶν ὁτιοῦν προστάξειεν*: et ci-dessous *εἴη* (voy. note 12).

μὲν αὐτὴ κέκτηται, τὸ δὲ παρ' ἑτέρας(9) *λαμβάνει*(10), *τάχα τῆς φύσεως ἐξεπίτηδες*(11) *τοῦτο μηχανωμένης, ἵνα πρόφασις εἴη*(12) *φιλίας ταῖς πόλεσιν ἡ πρὸς ἀλλήλας τῶν ἐπιτηδείων ἀντίδοσις.*

§ VIII. *Ὃ τοίνυν ἐν μέσῃ τῇ Καίσαρος ἔργον σοι πέπρακται, καὶ μάλα σοι πεπρᾶχθαι προσῆκον, οὐδὲ τοῦτο φέρειν σιωπῇ καρτερῶ*(1). [2] *Ἑσπέρα μὲν ἦν, ἀγορὰ δὲ πλή*-[fol. 33]*θουσα πανταχοῦ, μήπω τοῦ καιροῦ καλοῦντος ἐπὶ τὴν ἔμφυτον ἡσυχίαν· θορύβου δέ τινος ἄφνω συμβάντος οἷον φιλεῖ δῆμος ποιεῖν, ἄλλος ἀλλαχοῦ περιέτρεχον πῦρ ὀνομάζοντες·*

πάπτηνεν(2) *δ' ἄρ' ἕκαστος ὅποι φύγοι αἰπὺν ὄλεθρον*(3)·

παρὰ τοσοῦτον ἡ μητρόπολις(4) *ἦλθε κινδύνου.* [3] *Οὕτω δὴ πάντων ὡς ἐν φλογὶ καὶ νυκτομαχίᾳ ταραττομένων τῆς νυκτὸς ἐκείνης οὐδὲν εἰς ἀνάπαυλαν προσλαβών, οὐδ' ὅσον τοὔπος*(5) *Ὁμήρου συστῆσαι κοινὸν ἁπάντων δεσπότην τὸν Ὕπνον ἀποκαλοῦντος*(6), *περιέθεις λαμπαδίῳ προηγουμένῳ πάντα περισκοπῶν, πᾶσιν ἐφεστηκώς, μή τις ἐξάπτῃ τὸν δῆμον εἰς ταραχήν, μή που λανθάνουσι*(7) *κεκρυμμένοι σπινθῆρες· οὐ γὰρ ἡγήσω δεῖν ἀναπαύεσθαι τῆς φλογὸς οὐ δεχομένης ἀνακωχήν· τὸ γὰρ πρῶτον ἀεὶ δαπανώμενον εἰς πυρὸς φύσιν μεταβληθὲν ἐπινέμεται τὸ πλησίον.* [4] *Νὺξ ἐκποδών· καὶ πάντες εἰρηνικῶς*

---

9. *ἑτέροις* Ms.
10. *λ.μβάνει* Ms. (mangeure de ver).
11. *ἐξεπι.ηδὲς* Ms. (mangeure de ver).
12. *Εἴη* est incorrect; cependant il n'est pas sûr que Chorikios ait écrit *ᾖ*. Voy. d'autres irrégularités du même genre, ci-dessus, à la note 8.

§ VIII.] 1. *φέρειν σιωπῇ καρτερῶ* peut paraître suspect. — *Éloge de Summus*, p. 34, l. 17, Boisson., *τὰ τοῦδε σιγῇ παραδούς: Mimes* (discours inédit), fol. 154, *ὅθεν καὶ τοῦτο . . . σιγῇ παρατρέχεις.*
2. *πάπτην ἐν* Ms.
3. *Πάπτηνεν δὲ ἕκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.*
Iliade, XVI, 283.
4. Césarée était alors la métropole de la province de *Palestine première*. Cf. plus bas, § IX, 2: et surtout Justinien, *προοίμιον* de la *Novelle* 103, *Ἡ Καισαρέων μητρόπολις ἡ Παλαιστίνης ἡγουμένη τῆς πρώτης.* Cf. encore Hiéroclès, *Synecdème νγ'* (éd. G. Parthey, Berlin, 1866), *Καισάρεια μητρόπολις* (en tête des vingt-deux villes principales de la *Palestine première*). L'importance de Césarée remonte bien plus haut que Justinien. Déjà Tacite (*Histoires*, II, 78) l'appelait *Judaeae caput;* et on voit dans les *Actes des Apôtres* que Césarée était, dès cette époque, la résidence du gouverneur de la province, *ἡγεμών* (ce gouverneur portait alors le titre de *procurator Palaestinae*).
5. *τὸ ἔπος* Ms.
6. *Ὕπνε, ἄναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων*
Iliade, XIV, 233.
7. *λανθάνουσιν* Ms.

ἐπὶ θέαν συνέρρεον(8), *τῶν θορύβων αὐτοῖς λαμπρῶς λελυμένων*(9). [5] *Συγγραψάτω δή τις, ὅτῳ τέχνη συγγράφειν, τὰ τῶν στάσεων χαλεπά, νόμων ὀλιγωρίαν, ἑταιρείας*(10) *ἀτόπους· ὅσῳ γὰρ ἄν τις κατηγορήσῃ τῶν στάσεων, μείζων τῷ διαλύσαντι*(11) *γίνεται κόσμος.* [6] *Δῆμοι γὰρ ἐπ' ἀλλήλους ἐρίζοντες φιλονεικότεροι πολεμίων, καὶ μάλιστα σιδηροφορεῖν ἐγχειροῦντες, τῆς ἀπειροκαλίας*(12) *αὐτοὺς εἰς ἄκριτον συμπλοκὴν ἐμφερούσης· δεινὴ δὲ καὶ ἄλλως καὶ δυσίατος ἔρις ἡ τῶν οἰκείων ἐστὶ πρὸς ἀλλήλους.* [7] *Τοιγαροῦν, εἴ ποτέ τις ἔδοξε τὴν προτέραν σύγχυσιν ἀναστεῖλαι, πάλιν αὐτῆς ὁμοίως*(13) *ἀναφυείσης ἔγνω πεποιηκώς τι τοιοῦτον ὥσπερ ἂν εἰ φλογὸς ἐκ ῥίζης τινὸς ἀφανοῦς εἰς ὕψος ἠρμένης, τὸ περιθέον ἄνωθεν πῦρ ἀποσβέσας τὴν ὕπουλον φλόγα καὶ κάτωθε βρύουσαν εἴασε.* [8] *Τὸ γὰρ πάλιν μὲν ἐκείνους νεωτερίσαι, πάλιν δὲ πυρπολῆσαι τὸ ἄστυ, τοῦ μὴ πρόρριζον ἐκκεκόφθαι*(14) *τὴν στάσιν τεκμήριον ἦν.*

§ **IX.** *Ἔχει σου καὶ τρίτην*(1) *λέγειν φιλανθρωπίαν ὁ δῆμος ὁ Καισαρέων.* [2] *Σιτοδείας γὰρ ἔναγχος ἐκείνοις ἀπειλουμένης, καὶ τοσούτου δέους ἐπικρεμασθέντος ὡς ἐν μεγάλῃ πόλει καὶ ἀρχὴν ἐχούσῃ*(2) *καὶ ζῆν ἐν εὐπαθείαις εἰθισμένῃ, σίτῳ πλουσίαν ἔδει-*

---

8. *συνέρ.εον* Ms. (mangeure de ver).
9. *λελυμένω.* Ms. (mangeure de ver).
10. *ἑταιρίας* Ms.
11. Justinien, créant par sa *Novelle* 103 le proconsulat de Palestine en faveur de Stéphanos, qui avait rendu des services exceptionnels comme gouverneur de la province consulaire de Palestine première, confirme d'une manière éclatante, dans l'exposé des motifs, le témoignage rendu ici par Chorikios: *Καὶ γὰρ δὴ τοῦτο αὐτοῦ* (c.-à-d. *Στεφάνου*) *τῆς ἀρχῆς ἴδιον, ὃς δὴ παραλαβὼν στασιάζουσαν τὴν χώραν ἔκ τε προφάσεων ἑτέρων καὶ μάλιστα ἐκ τοῦ διαφόρου τῶν θρησκευμάτων εἰρηνικήν τε ἀπέδειξε καὶ πάσης ἀπήλλαξε ταραχῆς.* — « Au culte des divinités adorées par leurs ancêtres, » dit Mignot, dans son sixième mémoire sur les Phéniciens, en se référant au témoignage de "Marc. Diacon. *Vita S. Porphyr.* ap. Baron. ad. ann 401", « les Gazéens avaient ajouté celui des dieux de la Grèce qu'ils avaient adopté pendant qu'ils étaient sous la domination des successeurs d'Alexandre, et ils le conservèrent sous celle des Romains: cette idolâtrie était encore la religion dominante de leur ville à la fin du IVe siècle et au commencement du Ve siècle. » (*Mémoires de l'Académie des Inscriptions et Belles-Lettres*, t. XXXIV [1770].) On voit que l'idolâtrie persistait encore dans la province vers le milieu du VIe siècle.
12. *ἀπει.οκαλίας* Ms. (mangeure de ver).
13. Peut-être *αὖθις ὁμοίας*.
14. Cf. *Tyrannicide*, p. 57, l. 10, Boisson., *μήπω προρρίζου τῆς τυραννίδος ἐκκεκομμένης.*

§ IX.] 1. L'orateur réunit sous un seul chef les faits énoncés dans les §§ VII et VIII; c'est ainsi qu'il n'en est encore qu'au troisième point de l'éloge du gouverneur.
2. Cf. ci-dessus, § VIII, 2, note 4.

ξας τὴν μητρόπολιν· καὶ πρὸς τὴν ἐναντίαν δόξαν [fol. 34] *περιέστησαν οἱ καιροί, ὥστε τοὺς πάλαι τῆς εὐπαθείας ἐνδείας γενέσθαι δοκεῖν παραβαλλομένους τοῦ σίτου τῇ περιουσίᾳ.*

§ X. *Ἑτέραν τοίνυν εὐεργεσίαν τῆς εἰρημένης ἀντίρροπον ἐκ τῆς αὐτῆς ἥκω σοι πόλεως φέρων.* [2] *Σταδίους, οἶμαι, πεντήκοντα πρὸς ἕω τῆς πόλεως ἐξιόντι πηγαὶ συναντῶσι διαφανῆ καὶ ἀλύπῳ νάματι*(1)*· ἐντεῦθεν ὁδὸς μεμηχάνηται τὰ τῶν πηγῶν εἰσάγουσα δῶρα τῇ πόλει*(2) *κρήναις πεποιημέναις εἰς ὑδάτων ὑποδοχήν.* [3] *Φιλεῖ δὲ τὰ τοιαῦτα πυκνοτέρας τυγχάνειν ἐπιμελείας.* [4] *Ῥᾳθυμίας οὖν γινομένης*(3)*, οὐκέτι τοῖς ῥεύμασιν ὁ πόρος ὁμοίως ἀκώλυτος ἦν, ἀλλὰ πολλαχῇ τε προσέπταιεν ἡ τῶν ὑδάτων φορὰ καὶ σχολαιότερον*(4) *τοῦ συνήθους ἐβάδιζεν, ὥστε τὰς κρήνας ἐντεῦθεν τὰς μὲν ἀπράκτους παριέναι συνέβαινεν ἐρήμους οὔσας ὑδάτων, παρὰ δὲ τῶν ἔλαττον τῆς χρείας ὑδρεύεσθαι, καὶ τοῦτο τοὺς ἐν ἡλικίας ἀκμῇ, μετὰ πλείστης ἅμα φιλονεικίας, τῶν ἀρύε-*

---

§ X.] 1. *διαφανῆ καὶ ἀλύπῳ νάματι* Ms. première main: *διαφανῆ καὶ ἄλυπα νάματα ἔχουσαι* deuxième main. — Si la seconde main jouissait de quelque autorité, ce qui est au moins fort douteux, il suffirait peut-être de lire *πηγαὶ . . . διαφανῆ καὶ ἀλιπῆ* (ou *ἀλειπῆ*) *νάματα ἔχουσαι*. Si l'on considère, au contraire, les leçons de la seconde main comme n'ayant d'autre valeur que celle de simples conjectures, on pourra songer à diverses restitutions. Voici d'abord quelques passages de l'auteur qui ont une certaine ressemblance avec celui qui nous occupe. *Oraison funèbre de Procope*, p. 7, l. 7, Boisson., *ὅπου χαρίεντα καὶ διαφανῆ καὶ πότιμα νάματα*: *Oraison funèbre de Marie*, p. 42, l. 2 d'en bas, *ἔνθα . . . . εἰκὸς . . . . πηγὰς καθαρὰς καὶ διαφανῆ νάματα ῥεῖν*: *Éloge de Marcien*, I, p. 88, l. 5 d'en bas, *ὥσπερ γὰρ ἀφθόνου πηγῆς χρυσίου σοι νάματα χορηγούσης*: *Éloge de Marcien*, II, p. 109, l. 4, *ἀπὸ τοιούτων οὖν πηγῶν ἀρυσάμενος πολλὴν ναμάτων φοράν*: *Oraison funèbre de Procope*, p. 11, l. 4, *τὴν ψυχὴν πηγήν εἶναί τινα παντοίοις βρύουσαν νάμασιν.* La paléographie suggérerait la correction *πηγαὶ.. διαφανεῖς ἀλιπεῖ* (on reviendra plus bas sur ce mot) *νάματι* (*ΔΙΑΦΑΝЄΙϹΑΛ* = *ΔΙΑΦΑΝЄΙΙϹΑΛ*, c.-à-d. *διαφανει και αλ.*, d'où *διαφανῆ καὶ ἀλ.*). Nous croyons cependant être plutôt dans le vrai en supposant qu'il est tombé un mot. Alors, la restitution *διαφανῆ καὶ ἀλιπῆ ⟨χορηγοῦσαι⟩ νάματα* nous paraîtrait préférable à celle de la seconde main. Mais nous nous arrêterions plus volontiers à la suivante: *πηγαὶ . . . διαφανεῖς καὶ ἀλιπέσι ⟨βρύουσαι⟩ νάμασιν* (en comparant le texte de la p. 11, l. 4 de Boisson., cité plus haut dans cette note, et rapprochant *βρύουσαν* § VIII, 7). — Quant au mot caché sous *ἀλύπῳ*, nous ne voyons, dans aucun cas, que ce puisse être un autre adjectif que *ἀλιπής* ou *ἀλειπής* (*αλιπ ЄϹΙ* = *αλυπ ѠΙ*), bien qu'il n'y ait qu'un seul exemple de la première forme au *Thesaurus-Didot*, et que l'autre ne soit connue que comme le nom d'une certaine source intarissable qui existait à Éphèse.

2. Des restes de cet aqueduc sont encore visibles aujourd'hui parmi les ruines de Césarée de la Palestine (moderne Kaisarieh), d'après le comte de Medem chez Berghaus, *Asie*, 3e livraison, *Monuments de la Syrie*, p. 42 (cité d'après Cless, au t. IV, p. 354, de la *Real-Encyclopaedie* de Pauly).

3. Peut-être *γενομένης*.

4. Peut-être Chorikios avait-il écrit *σχολαίτερον*.

σθαι βουλομένων συνωθουμένων ἀλλήλοις· γύναια γοῦν καὶ πρεσβῦται καὶ παῖδες, ἔνιοι μὲν σὺν κενοῖς ἐπανήρχοντο(5) *τοῖς ἀγγείοις, ἐνίοις δὲ μέγας ὑπῆρχεν ἀγὼν ἡμιτελῆ ταῦτα κομίζειν, πολλοὶ δὲ τῶν παίδων, κατεαγότων αὐτοῖς τῶν σκευῶν, ἀπήεσαν*(6) *ὀδυρόμενοι.* [5] *Τῆς οὖν τῶν ὑδάτων ἐνδείας τὴν ἐπιθυμίαν αὐξούσης, τῆς ἐπιθυμίας δὲ μείζω ποιούσης τὴν σπάνιν, καὶ συναυξανομένων ἀμφοτέρων ἀλλήλαις, πανταχόθεν ἀφόρητον ἦν τὸ κακόν.* [6] *Καί τις τότε ποιητικὸς*(7) *εἰκότως ἂν ἔφη τὴν Καίσαρος πολυδίψιον ἄστυ*(8)*· μᾶλλον δέ, τὸ μὲν Ἄργος — οὕτω γὰρ ἐκεῖνο καλοῦσιν οἱ ποιηταί — τοὺς ἐνοικοῦντας ἀμέμπτους ἐποίει τῶν ὑδάτων τὴν ἀπορίαν ἔμφυτον ἔχον, Καισαρεῦσι δὲ πρὸς ὄνειδος τῆς ῥᾳθυμίας ἔρρεον αἱ πηγαὶ καὶ πικροτέραν αὐτοῖς ἐντεῦθεν ἀθυμίαν εἰσῆγον· οὐ γὰρ οὕτω*(9) *λυπεῖ*(10) *τὰ τερπνὰ διεστηκότα τῆς θέας ὅσον*(11) *φαινόμενα τοὺς ἀπολαύειν οὐ δυναμένους.* [7] *Τίς οὖν ὁ ταύτην λύσας τὴν συμφοράν; τίς ὁ τοῖς ῥεύμασιν ὁδὸν ἐλευθέραν ἀνοίξας καὶ τὰ πάλαι κωλύματα τεχνίταις ἀποτεμὼν τὰ τοιαῦτα δεινοῖς*(12)*; τίς ὁ ταῖς κρήναις ἑτέρας ἔτι προσθείς, τῆς*(13) *τῶν ὑδάτων ῥύμης νικώσης τῶν προτέρων τὸ πλῆθος; Ἴσασιν οἱ πεπειραμένοι.* [8] *Ἤρκει μὲν οὖν εἰς ἔσχατον ὅρον ἐπαίνου σοι ταῦτα, τῶν μάλιστα συντελούντων εἰς βίον αἰτίῳ φανέντι· οὐ μὴν ἄχρι τούτων ἡ χορηγία τοῖς εὐφημεῖν βουλομένοις, πάλιν ἐνταῦθα χρηστόν σου*(14) *ζηλώσαντος ἰατρόν· ἐκεῖνόν τε γὰρ ἡ τέχνη κελεύει*(15) *τοῦ τε μὴ νόσον ἐπιπεσεῖν προνοεῖσθαι καὶ γενομένην ἐπανορθοῦν*(16)*, σύ τε τὸν ἐλπισθέντα*

---

5. *ἐπαν. ρχοντο* Ms. (mangeure de ver).

6. Selon Cobet, un *attique* et un bon *atticiste* auraient écrit *ἀπῇσαν* (*Variae Lectiones*, 2ᵉ éd., p. 308: et ailleurs.)

7. Cf. *Oraison funèbre de Marie*, p. 48, l. 4 d'en bas, Boisson., *ἐγὼ δὲ μέτρου χωρίς, οὐ γάρ εἰμι ποιητικός.*

8. *καί κεν ἐλέγχιστος πολυδίψιον Ἄργος ἱκοίμην.* (*Iliade*, IV, 171.) Cf. *Oraison funèbre de Procope*, p. 23, l. 5 d'en bas, Boisson., *ἥ τε γὰρ πόλις τοσοῦτον προσείληφε μέγεθος τῶν στοῶν, ὡς ἐξεῖναι ποιητικῶς εὐρυάγυιαν αὐτὴν ὀνομάζειν.*

9. *οὐχ οὕτω λυπεῖ τὰ τ. δ. τ. θ. ὅσον φαιν. τ. ἀ. οὐ δυναμένους*, fragment *ιβ´* chez Boissonade, p. 283. (Sur l'origine de ce fragment, voyez la note 9 du § III.)

10. A la marge, abréviation de *γνώμη*.

11. *ὅσῳ* Ms: *ὅσον* manuscrit de Macarios Chrysocéphale (voyez la note 9 ci-dessus, et cf. la note 9 du § III).

12. Cf. *Oraison funèbre de Procope*, p. 13, l. 1, Boisson., *καταγέλωτα κινεῖν τοῖς τὰ τοιαῦτα δεινοῖς.*

13. La seconde main (sur l'autorité de cette main, voy. la note 1 du § X) a ajouté *ὡς* entre *προσθείς* et *τῆς*.

14. *μου* Ms.

15. Cf. § IV, 10 *ἐκείνη* (*ἡ τέχνη*) *κελεύει τὸν ἐπαινέτην κτλ.*

16. Cf. *Tyrannicide*, p. 60, l. 4, Boisson., *τοῖς Ἀσκληπιάδαις μείζων ὀφείλεται χάρις ἐπερχομένην ἀναστέλλουσι νόσον, ἢ παραπεσοῦσαν ἰασαμένοις.*

λιμὸν ἀνακόψας, — ἐξ οὗ πλεῖστα συμβαίνειν ἀρρωστήματα πέφυκεν, — ἐπειδὴ τοὺς ἐλάττω τῶν ἱκανῶν κεκτημένους νόσος μετὰ τῆς ἐνδείας ἐπιθεμένη διετίθει κακῶς, ἔπαθες τὴν ψυχὴν, ἐχορήγησας [fol. 35] *τὰ πρὸς ἴασιν, συνήσθης ἀπηλλαγμένοις.*

§ XI. *Ἐντεῦθεν*(1) *δοκῶ μοι τὰς πόλεις ὁρᾶν κύκλῳ περιεστώσας, ἑκάστην ἐμοῦ δεομένην πλείοσιν ὑπὲρ αὐτῆς χρήσασθαι λόγοις*(2), *οἷα δὴ πλείους τῶν ἄλλων ὀφειλούσης σοι χάριτας· τὴν μὲν*(3) *παῖδας ὑποδεικνύουσάν μοι καὶ γύναια ληστρικῆς ἐπηρείας ἐλεύθερα, τὴν δὲ τοὺς οἰκείους πολίτας τὸ θεῖον πεπαιδευμένους τιμᾶν, ἑτέραν πολεμίων ἀκολασίας ἀπηλλαγμένους, ἄλλην ταραχώδεις φατρίας*(*) *πεπαυμένας.* [2] *Καὶ τὰς ἄλλας μὲν οὕτω πως θεωρῶ τῇ φαντασίᾳ, τὴν ἡμετέραν δὲ πόλιν ὑπονοῶ μειδιῶσαν ὁρᾶν, εἰ, παρεστηκυίας αὐτῆς, οἴεταί τις τὴν νικῶσαν ἁρπάσαι* (4) *καὶ μὴ λογίζονται πόθεν αὐταῖς γέγονεν εὖ παθεῖν· εἰ γὰρ μὴ τοῦτον ἐγὼ, φησὶν, ἐθρεψάμην* (5), *πῶς ἂν ὑμῖν ὑπῆρχε σωθῆναι;* [3] *Δίκαια τοίνυν λεγούσῃ ψηφίζομαι· πρὸς γὰρ τῷ μήτηρ εἶναι, καὶ μεγίστας περὶ αὐτὴν*(6) *προβάλλεταί σου φιλοτιμίας*(7). [4] *Καὶ τί φησι; « Δύο* (8) *μάλιστα τρόποι* (9) *φρου-*

---

§ XI.] 1. Résumé de l'éloge de Stéphanos.

2. Voy. le même procédé oratoire dans l'*Oraison funèbre de Marie*, p. 43, Boisson., *καὶ πρὸς τοσούτους αὐτῇ τῆς φιλανθρωπίας μεριζομένης, εἴ τις τὴν μεγίστην ἐκείνης εὐεργεσίαν ἐπιθυμήσας μαθεῖν, εἰς ἕν τι τῶν χωρίων τοὺς εὖ παθόντας συναγαγὼν, ἕκαστον ἔροιτο τίνα διὰ πλείονος ἤγαγε μᾶλλον εὐνοίας, ἑαυτὸν ἅπας* (*sic* Boisson.) *ἐρεῖ.*

3. *μὲ* Ms. (le *ν* n'a pas été mangé par un ver: il a été oublié par le copiste).

4. Cf. *Éloge de Marcien*, II, p. 119, l. 8, Boisson., *τῶν γὰρ ἰσορρόπων οὐ ῥᾴδιον ὅτῳ ψηφίσεται τὴν νικῶσαν εὑρεῖν*: Eustathe (*alias* Eumathe) le romancier, p. 9, *σὺ δ' ἂν εἰ δικαστὴς καθίσῃς αὐτῶν, οὐκ οἶδ' ᾧ τὴν νικῶσαν ἀποχαρίσῃ.*

5. Stéphanos était donc originaire de Gaza. Cf. 3, *πρὸς γὰρ τῷ μήτηρ εἶναι.*

6. *αὐτὴν* Ms.

7. Cf. *Oraison funèbre de Procope*, p. 23, l. 10, Boisson., *τὰς ἄρτι σοι πραχθείσας τῇ πόλει φιλοτιμίας.* On trouvera aussi à cet endroit-là de l'oraison funèbre de Procope quelques détails sur les embellissements de Gaza.

8. *δύο μάλιστα τρόποι φ. τ. π., ε. τ. θ. καὶ περίβολος ἀρραγής* (*ἀραγης* Ms.) fragment *ιγ'*, chez Boissonade, p. 283. (Sur l'origine de ce fragment, voy. la note 9 du § III.)

9. Cf. *Tyrannicide*, p. 73, l. 11, Boisson., *εἰσὶ τρόποι παντοδαποὶ πρὸς ὄνησιν ἢ πρὸς εὐθυμίαν εὑρημένοι τῆς πόλεως, ἀριστεῖαι* (*ἀριστεῖαι* manuscrit: *ἀριστεῖα* Boisson.) *καὶ χορηγίαι καὶ τριηρῶν ἐπιδόσεις καὶ τὰ τούτοις προσεοικότα.* — Néanmoins *τρόποι φρουροῦσι* peut paraître suspect. Weil songe à *προστάται* et rapproche Eschyle, *Les Sept contre Thèbes*, 408, *τῶνδ' ἀντιτάξω προστάτην πυλωμάτων.*

* Voy. ci-après, p. 80, l. 14 d'en bas. H. G.

ροῦσι τὰς πόλεις, εὐμένειά τε θεοῦ καὶ περίβολος ἀρραγής(10)· ὧν τὸ μὲν παρὰ σοῦ γέγονε, τὸ δὲ διὰ σοῦ· καὶ νῦν ἑκατέρωθεν ἀδεὴς ἐγενόμην, τοῦ μὲν τεμένους(11) εἰς εὔνοιάν μοι τὸ θεῖον ἐπισπωμένου, τοῦ δὲ τείχους (12) ἀκέραιόν με φρουροῦντος. [5] Τοιαύτας ἔχω, φησί, καὶ τοῦ μέλλοντος τὰς ἐλπίδας(13). Ἀπολήψεταί μοι τὸν ὄροφον ὁ βασιλέως ἐπώνυμος χῶρος(14), ἀπολήψεταί μοι τὸ λεῖπον ἡ πρὸς τὴν ὡραίαν γινομένη σκηνή, ἀνοίξω τοῖς ἐνοικοῦσιν ἕτερον χειμῶνος ὥρᾳ(15) λουτρὸν(16) καὶ μετοχετεύσω λουομένοις πότιμον ὕδωρ καὶ λίαν ἐπιτήδειον εὐεξίᾳ σωμάτων.» [6] Ταῦθ' ἡ(17) πόλις· ἐγὼ δέ σου τὰ πεπραγμένα θαυμάζων, καὶ τὴν τῶν ἔργων ἀποδέχομαι τάξιν, ὅτι τῷ περιβόλῳ τὴν πρώτην ἀπονείμας φροντίδα καὶ τὴν πόλιν ἀνάλωτον καταστήσας, οὕτω τῆς ἔνδον εὐπρεπείας ἐπεμελήθης, ἵνα μὴ τοῖς πολεμίοις καλλωπίσῃς τὴν πόλιν.

§ XII. Ἤκουσε τῶν πανταχοῦ σοι πεπονημένων ὁ βασιλεὺς ἀνδρῶν οὐδαμῶς οἵων τε ψεύδεσθαι· ἦν μὲν γὰρ ἡ πρεσβεία τρεῖς ἅμα τὸν ἀριθμὸν ἱερεῖς, ὁ δὲ τοὺς πρέσβεις ἐκπέμψας ἁπάντων ἱερέων ὁ κράτιστος(1). [2] Πῶς οὖν εἰκὸς βασιλέα διατεθῆναι πρὸς τὴν πρεσβείαν; ἢ δῆλον ὅτι(2) περιχαρῆ μὲν γενέσθαι,

---

10. ἀρογὴς (à ce qu'il semble) Ms.: ἀραγης Macarios Chrysocéphale (voy. ci-dessus la n. 8, et cf. la n. 9 du § III). [VIII. II, p. 20: ἀραγές. H. G.]

11. Il s'agit du temple dédié au martyr Sergios. Cf. plus bas, § XII, 4.

12. Dans les deux éloges de l'évêque Marcien, Chorikios attribue à cet évêque, sans faire même mention du gouverneur, tout le mérite de la reconstruction des remparts (voy. aux pages 81 et 111 de l'édition Boissonade).

13. Chorikios, après avoir parlé des premiers embellissements de Gaza, dirigés par l'évêque Marcien, disait de même, dans l'*Oraison funèbre de Procope* (p. 23, dernière ligne, Boisson.), *καὶ μαντεύομαί γε πλείονά τε καὶ μείζω γενήσεσθαι τῶν γεγονότων*. [On attendrait *τοιαύτας δ' ἔχω κτλ.* — Réd.]

14. Cf. *Oraison funèbre de Procope*, p. 7, l. 6, Boisson., *ἡ μὲν Ἀντιόχου (κέκτηται) τὸν ὁμώνυμον χῶρον τῆς Ἀπόλλωνος ἐρωμένης*, où Boissonade a mis cette note: «celeberrimum fuit Daphne suburbium Antiochiae.»

15. Cf. *ὥρᾳ χειμῶνος*, p. 114, l. 4 d'en bas, Boissonade.

16. Un premier établissement de bains avait été ouvert précédemment par l'évêque Marcien, comme on le voit dans l'*Oraison funèbre de Procope*, p. 23, l. 3 d'en bas, Boisson., *τό τε λουτρὸν ἀνέῳκται διὰ σέ*. Rien que le rapprochement de ces deux termes, *τὸ λουτρὸν*, *ἕτερον λουτρὸν*, suffirait à établir que l'*Éloge d'Aratios et de Stéphanos* est postérieur à l'*Oraison funèbre de Procope*. Du reste, il paraît probable que, du vivant de Procope, on n'eût pas pris l'élève de préférence au maître pour prononcer le discours dans une occasion aussi solennelle qu'était la réception des deux plus hauts personnages de la province.

17. *Ταῦτα ἡ* Ms.

§ XII.] 1. Cf. plus haut, § III, 2, *τῷ κορυφαίῳ τῶν ἱερέων*. Chorikios veut sans doute désigner par ces expressions le patriarche de Jérusalem.

2. Boissonade écrit ordinairement *ἢ δῆλον ὅτι*, sans être absolument constant avec lui-même (p. 65, l. 5 d'en bas, *ἢ δῆλον ὅτι*).

μηδαμῶς δὲ θαυμάζειν, εἰ τοιαῦτά σοι μαρτυροῖεν· μείζονα γὰρ συνειδέναι σοι τούτων. [3] *Τί γὰρ τῶν σῶν ἐκεῖνος πλεονεκτημάτων* (3) *ἠγνόησεν; οὐ τῶν ἀποκρίσεων*(4) *αὐτῷ τὰς μεγίστας ὑπηρετεῖς; οὐ τοσαύτην ὀξύτητα ταῖς χρείαις εἰσάγεις, ὡς ἐννοεῖσθαί τινα· «Μὴ τοιοῦτος ὢν ὁ Περσεὺς ὑπόπτερος ὠνομάσθη τῷ μύθῳ*(5)*;» οὐ τὴν φήμην ἀεὶ θορυβεῖς,* [fol. 36] *οὐδὲ χώραν αὐτῇ προξενῶν ὅπου γῆς εἴης*(6) *ἀγγέλλειν*(7)*;* [4] *Καὶ θαυμαστὸν οὐδὲν εἶναι τοιοῦτον ἄνδρα περὶ τὸ θεῖον τοσαύτῃ χρώμενον θεραπείᾳ τε καὶ τιμῇ δείκνυσι νεὼς οὗτος ἐν ἄστει πολυτελής*(8)*, τοῦ μὲν ἱερέως*(9) *ἐπιμελείᾳ, σῇ δὲ φιλοτιμίᾳ μεγαλοπρεπῶς εἰργασμένος· περὶ οὗ τί ἂν μακρολογοίην εὐρυχωρίαν*(10) *ἢ κάλλος ἢ* (?) *πλακῶν ἀγλαΐαν*(11) *ἢ γραφικὴν ποικιλίαν ἢ ὡς ἐν καλῷ τοῦ ἄστεως*

---

3. *πλεονεκτημάτων*] Cf. § I, note 14.

4. *Ἀπόκρισις* signifie en grec byzantin *ambassade, commission, dépêche.* Voy. p. ex. Justinien, *Novelle* 123, chap. 25 et 36 *bis*; cf. Évagrios, *Histoire ecclésiastique*, IV, 38 (t. LXXXVI, col. 2776 A, collection Migne), *ταῖς γὰρ ἀποκρίσεσι τοῦ Ἀμασείας ἐπισκόπου διηκονεῖτο*: Jean Moschos, t. LXXXVII, col. 2964 D, Migne, *ἀλλ' ὕπαγε, ποίησον ἀπόκρισιν*: col. 3009 A, *ἀποστέλλει τινὰ τῶν τὰς ἀποκρίσεις διακονούντων*: et col. 3096 A, *ἐπέμπετο εἰς ἀποκρίσεις τοῦ κοινοβίου*; St Dorothée, t. LXXXVIII, col. 1720 A, Migne, *ἔπεμψέ με ὁ οἰκονόμος εἰς τήνδε τὴν ἀπόκρισιν*: Jean Malala, p. 130, l. 17, L. Dindorf, *καὶ ἐπέμψαμεν πρὸς αὐτὸν ἀπόκρισιν*: Théophane, p. 295, l. 7, Classen, *ὁ τὰς βασιλικὰς ἀποκρίσεις ποιῶν βεριδάριος*: Constantin Porphyrogénète, *Cérémonies*, p. 76 C, Reiske, *ἐνέγκαντος ἀπόκρισιν τῷ πραιποσίτῳ*, et l'annotation de Reiske. Voy. aussi les articles *Apocrisiarius*, dans l'*Onomasticon* de Rosweyd, *Vitae patrum*, Anvers 1628: *Ἀποκρισιάριος* (*legatus*), et *Ἀποκρισιαρίκιον* (*legatio*) chez Du Cange, *Glossar. med. et infim. graecitatis*: *Ἀποκρισιάριος* (*messenger, ambassador*) chez Sophocles, *Greek Lexicon of roman and byzantine periods*, Boston 1870.

5. Cf. § V, 3, *κἂν ὁ στρατηγὸς τῇ τραγῳδίᾳ δοκῇ τὴν εὔκλειαν ἄρνυσθαι*, et la note afférente à ce passage.

6. Cf. § V, note 14, et § VII, note 8.

7. Chorikios loue Stéphanos de son activité prodigieuse. Il est, pour ainsi dire, partout à la fois. A la frontière d'Égypte, il châtie les brigands; il purge toutes les grandes routes de sa province des voleurs qui les infestaient; il prévient les séditions à Césarée, lieu officiel de sa résidence, et il y répare l'aqueduc; puis c'est Gaza, sa patrie, où il dirige les travaux de fortification, bâtit un temple magnifique; il en fête le couronnement par un banquet auquel les personnages marquants de toute la Palestine sont conviés. La renommée ne saurait dire, à un moment donné, où se trouve Stéphanos.

8. Peut-être: *καὶ θαυμαστὸν οὐδὲν εἶναι τοιοῦτον* ⟨*ὂν*⟩ *ἄνδρα περὶ τὸ θεῖον τοσαύτῃ χρώμενον θεραπείᾳ τε καὶ τιμῇ δείκνυσι*⟨*ν ὁ*⟩ *νεὼς οὗτος οὖν ἄστει πολυτελὴς κτλ.* [Pour *οὖν*, cf. Kruger, § 14, 2, 2. H. G.]

9. *ὁ ἱερεύς*, c'est Marcien, évêque de Gaza. Chorikios composa plusieurs éloges de ce personnage, dont deux, qui nous ont été conservés, se trouvent chez Boissonade (p. 77 et 105).

10. Cf. *Éloge de Marcien*, I, p. 90, l. 13, Boisson., où Chorikios dit du même temple, *τοσοῦτον αὐτῷ μεγέθους περίεστιν, ὥστε πολλοὺς πολλαχόθεν ἐνθάδε συρρέοντας δόξαν ὀλίγων διδόναι, πολλῆς ἑκάστῳ προσούσης εὐρυχωρίας.*

11. *ἢ κάλλει πλα ῶ* ‖ *ἀγλαΐαν* Ms. Cf. *Éloge de Marcien*, II, p. 116, l. 13

ἵδρυται ἢ ὅτι τοῖς γεισίοις (12) *ἐπὶ μέγα χωρήσας τοὺς δεῦρο πορευομένους ψυχαγωγεῖ πόρρωθεν ἐμφαίνων τὴν πόλιν* (13); *Τί ἂν ταῦτα μηκύνοιμι λέγων, οὐχ ὡς ἅπαντα πρῴην εἰπών, ἡνίκα τὸν ἱερέα σκοπὸν ἔστησά μου τοῖς λόγοις* (14);

§ XIII. *Ἀλλὰ τῇ γλώττῃ μετρήσας τὴν εὐφημίαν, ἐκεῖνο γοῦν* (1) *εἰς μέσον ἄγειν ἐθέλω· ἐπειδὴ γὰρ εἶχέ σοι πέρας τὸ τέμενος, ἑορτὴν ἀξίαν τῶν ἔργων ἐποίεις* (2) *· εἰς δὲ τὴν πανήγυριν ταύτην πάντας τοὺς ἐν τέλει συνήγαγες πολίτας θ'* (3) *ἅμα*

---

et suiv., *ὥστε ζωγράφων παῖδες . . . , εἴ που δέοιντο κιόνων εἰς μίμησιν ἢ πλακῶν ἀγλαΐας, . . . καλῶν εὐπορήσουσιν ἐντεῦθε* (il s'agit d'un autre temple de la même ville de Gaza) *παραδειγμάτων*. Chorikios se sert fréquemment du terme *αἱ πλάκες* pour désigner les marbres (p. ex. p. 89, l. 3, Boisson.: p. 90, l. 1: p. 113, l. 17: p. 115, l. 17: p. 116, ll. 7 et 10: p. 118, l. 5: etc.). Quant à la genèse de la leçon *πλα* (avec *ω* au-dessus de l'*α*), elle est toute simple à expliquer. Il faut se représenter que l'*ω* qui surmonte l'*α* cache un *κ* du type du xe siècle (*ϰ*). — De plus, nous soupçonnons que sous la leçon altérée *κάλλει*, est dissimulée la leçon *κάλλ° ἢ*, que nous avons mise dans le texte.

12. *τῆσι εἰς* Ms.: ⟨*τοῖς*⟩ *γεισίοις* Tournier (ΓЄΙϹΙΟΙϹ = ΤΗϹΙЄΙϹ). — Cf. ce que dit Chorikios de la «coupole» de ce temple dans l'*Éloge de Marcien*, I, p. 88, l. 9, Boisson., *καὶ δὴ πρὸς ἅπαντα λίαν ἐκπεπληγμένος, ἐπιεικῶς ἄγαμαι τοῦ τεμένους τῆς ὀροφῆς*. (Suit la description de la coupole.)

13. Chorikios s'exprime ailleurs dans les termes suivants à propos de ce même temple: *Ἐνταῦθά τις πάλιν ἐμοὶ καταλεγέτω τὰς πόλεις ὅσαις ὄνομα γέγονεν ἐξ ἀνακτόρων κατασκευῆς, τῶν μὲν ἐν καλῷ κειμένων τοῦ ἄστεως* (*ἄστεος* Boisson.), *τῶν δὲ λίθων αὐγαῖς ἀστραπτόντων, ἑτέρων ἐκ μεγέθους βεβοημένων, ἄλλων γραφῆς ἀγλαΐᾳ λαμπόντων. Τὰ γὰρ ἅπασι τοῖς ἄλλοις μεμερισμένα ταῦτα συλλήβδην ἔχει τὸ τέμενος.* (*Éloge de Marcien*, I, p. 90, Boissonade.) — *Αἱ δὲ πλευραὶ τῶν στοῶν, αἱ μέν εἰσι τοῖχοι, πλάκας ἠμφιεσμένοι, τῇ μὲν τέχνῃ μιᾷ συνεχομένας ἁρμονίᾳ, τῇ δὲ φύσει τῆς ὕλης ἴσα καὶ γραφικῇ ποικιλίᾳ κεκοσμημένας· οἱ δὲ κίονες καὶ πρὸς ἀλλήλους καὶ πρὸς αὑτὸν ἕκαστος μιᾷ χρώμενοι συμφωνίᾳ κτλ.* (*Ibid.*, p. 85, au bas de la page.) — *Τοὺς . . . ἐκ τῶν βαναύσων ἀποτρεψομένους τὸν νεὼν κοσμεῖν οἷς ἕκαστος δύναται, καὶ τεκταίνεσθαι μὲν τοὺς τοῦτο μεμαθηκότας, βιάσασθαι δὲ μαρμάρων ἀνωμαλίαν τοὺς τοῦτο πεπαιδευμένους, καταποικῖλαι δὲ τοὺς γραφέας ἱστορίαις παντοδαπαῖς.* (*Ibid.*, p. 83, ll. 13 et suiv.) — Chorikios consacre encore en passant un alinéa à la description du même temple, dans le second *Éloge de Marcien*, p. 112, où on lit (l. 5 d'en bas), *ὕψους, εὐρυχωρίας, φωτὸς, χρωμάτων ποικίλων, σχημάτων οἰκοδομίας παντοδαπῶν, τούτων ἁπάντων ὁμοῦ, μᾶλλον δὲ μέρους ἑκάστου κατέχειν ἀρκοῦντος τὸν θεατήν.*

14. Allusion au *λόγος πρῶτος εἰς Μαρκιανὸν Γάζης ἐπίσκοπον, ἐν ᾧ καὶ ἔκφρασις ναοῦ τοῦ ἁγίου μάρτυρος Σεργίου* (p. 77 et suiv., Boisson.).

§ XIII.] 1. *γοῦν*] *δ' οὖν* Ms.

2. Voy. une brillante description de cette fête, banquets publics en plein air, décoration du champ de fête, installation de marchands forains, illuminations, noms des autorités écrits en lettres de feu, bals de nuit, etc., vers la fin de l'*Éloge de Marcien*, I, aux pages 100 et suivantes.

3. *τε* Ms.

κάστυγείτονας (4) . . . . . *οἷς* (5) *ἡ Καίσαρος* (6) *ἐναβρύνεται, ἑστιῶν* (7) *δ' αὐτοὺς καὶ φιλοτησίας προτείνων* (8) *καλὴν ἐνεδείξω πρὸς ἅπαντας δεξιότητα* (9), *μὴ ζηλώσας ἐκεῖνον τὸν κατηφῆ καὶ σύννουν* (10) *Ἐπαμεινώνδαν.* [2] *Λέγεται γὰρ Θηβαίων ἀγόντων πάνδημον ἑορτὴν καὶ διημερευόντων οἷον εἰκὸς ἐν εὐωχίαις καὶ κώμοις, ἐρομένου τινὸς τί δὴ μόνος οὐ μετέχει τῆς ἡδονῆς καὶ τί ποτ' εἴη πεφροντικώς, ἀποκρίνασθαι ὅτι* (11) *τῶν κοινῶν ἐπιμελοῖτο πραγμάτων.* [3] *Οὗτος ὁ λόγος ἀγνοοῦντα τὸν Θηβαῖον ἐλέγχει τὴν πρὸς τὸ Ἱππονίκου μειράκιον* (12) *συμβουλήν, ὡς ἀπειρόκαλον* (13) *π α ρ ὰ τ ὰ γ ε λ ο ῖ α σ π ο υ δ ά ζ ε ι ν* (14). [4] *Οὐ μὴν τὸ σκυθρωπὸν Ἐπαμεινώνδου φυγὼν τὴν ἀνελεύθερον Ἀλεξάνδρου τρυφὴν ἐμιμήσω, ὃς ἐν πότῳ τινὶ τὴν λύραν ἀναλαβὼν συνῇδε τοῖς κρούμασιν* (15), *ὥστε καὶ ἀπέσκωψεν εἰς αὐτὸν ὁ πατὴρ εἰ μὴ* (16) *καταδύοιτο κιθαρίζων.* [5] *Σὺ δέ, τοῦ μὲν τὴν ἀκέραιον* (17)

---

4. Le même fait est relaté au début de l'*Éloge de Marcien*, I, p. 79, Boisson., *ὅση μὲν ἐφοίτησεν εὔκλεια πανταχοῦ καταπλήττουσα τῷ τεμένει τὰς ἀκοάς, ἔργῳ μαρτυροῦσιν αἱ πόλεις, ἐπὶ θέαν ἐκπέμψασαι τὰ τέλη τῶν οἰκητόρων.* — Cf., pour l'expression, *Oraison funèbre de Marie*, p. 42, l. 2, *ταῦτα τῶν ἀστυγειτόνων ἐκίνησε τὰ τέλη.*

5. *καὶ ἀστυγείτονας οἷς* (sans trace de lacune) Ms. première main: *καὶ ἀστυγείτονας καὶ οἷς* seconde main.

6. *ἡ Καίσαρος*, Césarée, la métropole de la province de Palestine première. Expression fréquente chez Chorikios; (p. ex. § VIII, 1: § X, 6: *Oraison funèbre de Procope*, p. 6, l. 3 d'en bas, Boisson.).

7. Voy. ci-dessus, la note 2.

8. Il faut sans doute corriger ici *προπίνων*, comme ont fait Gesner et Cobet dans ce passage de Lucien (*Vœux*, 39), *χρυσᾶ ἐκπώματα προπίνων* (*προτεινόμενος* ou *προτείνων* Mss.) *τοῖς συμπόταις* (voy. l'éd. de Fritzsche). Cf. Démosthène, *Ambassade*, § 139, p. 384, 13, Reiske, *ἐκπώματ' ἀργυρᾶ καὶ χρυσᾶ προὔπινεν αὐτοῖς*, où plusieurs Mss. présentent la leçon *προὔτεινεν*: mêmes variantes, *ibid.*, § 126, p. 380, fin, et ailleurs. Sur cette confusion fréquente, voy. aussi Cobet, *Novae Lectiones*, p. 396.

9. Cf. *Mimes*, (discours inédit), fol. 156, [ci-dessous, p. 55, l. 12] *τῆς ἐν τοῖς πότοις αὐτοῦ* (c.-à-d. *Φιλίππου*) *δεξιότητος ἀγασθέντες*: Théophylacte Simocatta, IV, 10, p. 179, l. 14, Bekker, *δεξιότητι καὶ φιλοφροσύνῃ τοῦτον ἐξένισεν.*

10. Cf. *Éloge de Marcien*, II, p. 122, l. 10, Boisson., *τίς γὰρ νῦν οὕτω σύννους ἀνὴρ καὶ σκαιός κτλ.*

11. *'ποκρίνασθαι ὅτι.* La pause peut justifier l'hiatus; et Homère élide *αι*.

12. Le fils d'Hipponique, c'est Démonique. (Voy. ci-dessous la note 14.)

13. *Ἀπειρόκαλον* – *σπουδάζειν*, fragment *ιδ'* chez Boissonade, p. 283. Villoison, premier éditeur de ce fragment, avait proposé à tort de lire *περὶ τὰ γελοῖα.*

14. Isocrate, *Démonique*, § 31, p. 8 E, Estienne, *μηδὲ παρὰ τὰ γελοῖα σπουδάζων, μηδὲ παρὰ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρων· τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν.*

15. *κρούσμασι* Ms. Cf. *Oraison funèbre de Procope*, p. 6, l. 9, Boisson., *κρούμασι θέλγων τοὺς κάτω θεούς.*

16. Sur *εἰ μή* interrogatif, voy. Krüger, *Gramm. gr.*, § 67, 3, remarque.

17. Cf. *Description de l'horloge*, p. 152, l. 3 d'en bas, Boisson., *οὐδὲ τὰς*

σεμνότητα καταγνούς, τοῦ δὲ τὸ περιττῶς ἁβροδίαιτον, ἀστειοσύνην τινὰ σεμνότητι συνεκέρασας(18), *ἀμφότερα τῷ καιρῷ συμβαίνοντα πράττων, τοῦ μὲν ὁσίου τῆς ἑορτῆς τὸ σεμνὸν βουλομένου, τοῦ δὲ λαμπροῦ καὶ φαιδρόν τι προσαπαιτοῦντος.*

§ XIV. *Ἔστι τοίνυν τῆς αὐτῆς εὐσεβείας τεμένη δημιουργεῖν καὶ τοὺς ταῦτα διαφθείροντας τιμωρεῖσθαι· τοῦτο δὴ τοῦ στρατηγοῦντος τὸ τρόπαιον*(1). [2] *Σκοπεῖτε γὰρ·*(*) *νῆσος ἔστιν ὄνομα μὲν Ἰωτάβη* (2), *τὸ δ' ἔργον αὐτῆς ὑποδοχὴ φορτίων τῶν Ἰνδικῶν, ὧν μέγας φόρος τὰ τέλη· προσοικοῦσι δ' ἄνδρες αὐτήν, ἀνόσιον*

Ἀμαζόνας ἀκεραίους ἀφῆκεν (*Ἡρακλῆς*).
18. Cf. *Éloge de Marcien*, I, p. 102, l. 2 d'en bas, Boisson., *τοῖς ἀστειοτέροις τῶν πολιτῶν* (il s'agit des habitants de Gaza) *τὸ σεμνὸν ἐπανθεῖ.*

§ XIV.] 1. L'orateur revient aux exploits du duc.
2. *Ἰοτάβη* Ms. — L'île de Jotabé est située au fond de la mer Rouge, dans la partie N.-E., presque à l'entrée du golfe Élanite. Le *Synecdème* de Hiéroclès la range dans la province d'Isaurie, sous le nom de *Ἰοτάπη* (p. 40, éd. Parthey). Dans le *Leonis Sapientis et Photii ordo patriarcharum*, publié à la suite de Hiéroclès par Parthey, cette île est désignée sous le nom de *Ἰωστάπη;* elle s'y trouve de même dans la province d'Isaurie, et figure comme siége d'un évêché (p. 85). Abandonnée par les Romains un peu plus d'un demi-siècle avant l'expédition que raconte Chorikios, elle avait été recouvrée par eux seulement, à ce qu'il semble, en 498, c'est-à-dire au bout de vingt-cinq ans. Tout ce qu'on sait de l'histoire de cette petite île paraît être contenu dans le passage de Chorikios qui fait l'objet de cette note, et dans les trois textes suivants: — I.] Malchos de Philadelphie, fragment I, au t. IV des *Fragmenta historicorum Graecorum* de C. Müller, p. 113, ... *ἐν δὲ τοῖς Πέρσαις ἦν ὁ Ἀμόρκεσος τοῦ Νοκαλίου γένους . . . Μίαν δὲ τῶν Ῥωμαίων παρεσπάσατο νῆσον Ἰωτάβην ὄνομα· καὶ τοὺς δεκατηλόγους ἐκβαλὼν τῶν Ῥωμαίων αὐτὸς ἔσχε τὴν νῆσον, καὶ τὰ τέλη ταύτης λαμβάνων χρημάτων εὐπόρησεν οὐκ ὀλίγων ἐντεῦθεν.* Par suite d'un arrangement, l'empereur Léon Ier, sous le règne duquel cet événement se passa, confirma à Amorkésos la possession de l'île de Jotabé (an 473 après J.-C.) — II.] Théophane, *Chronique*, an du monde 5990 (498 après J.-C.), p. 218, l. 11, Classen, *τότε καὶ Ἰωτάβην τὴν νῆσον κειμένην ἐν τῷ κόλπῳ τῆς Ἐρυθρᾶς Θαλάσσης καὶ ὑποτελῆ φόροις οὐκ ὀλίγοις ὑπάρχουσαν βασιλεῖ Ῥωμαίων, κατασχεθεῖσαν δὲ μεταξὺ ὑπὸ τῶν Σκηνητῶν Ἀράβων, μάχαις ἰσχυραῖς ὁ Ῥωμανὸς* (Rhomanos était *τῆς ἐν Παλαιστίνῃ δυνάμεως ἄρχων, ἀνὴρ ἄριστος ἐν βουλῇ καὶ στρατηγίᾳ*, même page, l. 5) *ἠλευθέρωσεν, αὖθις Ῥωμαίοις πραγματευταῖς δοὺς αὐτονόμως οἰκεῖν τὴν νῆσον καὶ τὰ ἐξ Ἰνδῶν ἐκπορεύεσθαι φορτία, καὶ τὸν τεταγμένον βασιλεῖ φόρον εἰσαγεῖν*(**). — III.] Procope, *Guerre Persique*, I, 19, p. 99, l. 10, G. Dindorf, ... *ἐς τὴν Ἰωτάβην καλουμένην νῆσον, Αἰλᾶ πόλεως σταδίους οὐχ ἧσσον ἢ χιλίους διέχουσαν· ἔνθα Ἑβραῖοι αὐτόνομοι μὲν ἐκ παλαιοῦ ᾤκηντο, ἐπὶ τούτου δὲ Ἰουστινιανοῦ βασιλεύοντος κατήκοοι Ῥωμαίων γεγένηνται* (voy. l'introduction, p. 6). Procope paraît ignorer que cette île avait déjà appartenu précédemment à l'Empire, et ne fournit d'ailleurs aucun détail sur la manière dont la possession de ce comptoir fut de nouveau assurée aux Romains. Le récit de Chorikios vient fort à propos combler cette lacune.

* *Sic, Rev. de Phil.* et ms. de Ch. G. H. G.
** Io. Classen: *εἰσάγειν;* — *Rev. de Phil.: εἰσαγεῖν*; — ms. de Ch. G.: *εἰσάγειν.* H. G.

ἔθνος(3), *φρούριον οἰκοῦντες οὐδαμόθεν ἐπίμαχον τοῖς ἐπιοῦσιν· οὗτοι τῇ νήσῳ πολεμίως ἐπιπεσόντες, — ἔστιν αὐτόθι νεὼς ἱδρυμένος,* [fol. 37] *ἔνθα νομίζεται τοῦ Θεοῦ τὴν Μητέρα τὴν Παρθένον τιμᾶσθαι —, τοῦτον οἱ δυσσεβεῖς ἐδαπάνησαν χειροποιήτῳ φλογί, καὶ τὰ τέλη σφετερισάμενοι τῶν ἀγωγίμων ἐκαρποῦντο τὸν βασιλέα*(4). [3] *Ἡγησάμενος οὖν τὴν περὶ τὸν νεὼν ἀδικίαν ἐφόδιόν σοι γενέσθαι τῆς ἐξ οὐρανοῦ συμμαχίας, ἐξῄεις ἐπὶ τὸ τῶν ἐναγῶν ὁρμητήριον καί, τοῖς ἐκεῖθεν κατασκόποις περιτυχὼν καὶ τὰ τῶν ἐκπεμψάντων ἀπόρρητα γνοὺς παρὰ τῶν ἐλπισάντων ἐκείνοις διαπορθμεύσειν*(5) *τὰ σά, αὐτὸς ἄγγελος ἦλθες τοῖς πολεμίοις.* [4] *Αὐτὸ τοίνυν πρῶτον τὸ κατασκόπους ἐκπέμψαι μαρτυρία τῶν ἀποστειλάντων σαφὴς τοῦ τεταράχθαι καὶ πεπληρῶσθαι τὰς ἀκοὰς τῶν ἀμέμπτων*(6) *καὶ πάλαι τὴν σὴν ἐπ' αὐτοὺς ἄφιξιν ὀνειροπολεῖν τε καὶ τρέμειν.* [5] *Ἤλπιζον μὲν οὖν ἐκ τῶν περὶ σοῦ φερομένων ἄνδρα θεάσασθαι*(7) *κρείττω τῶν ἐν τοῖς βιβλίοις* (8) *ἀριστευσάντων* (9), *εὗρον δὲ στρατηγὸν καὶ τὰς αὐτῶν ἐλπίδας νικῶντα.* [6] *Κλίμακα γὰρ τοῖς τείχεσιν ἐπιστήσας, περινοστῶν σου τὸ πλῆθος λόγον ἀφῆκας ἐς τὸ στρατόπεδον, καιρὸν εἰπὼν ἅπασιν ἥκειν τὴν ἑκάστου βασανίζοντα προθυμίαν καὶ ῥώμην*(10)· *τὸ βραχὺ τοῦτο φθεγξάμενος πολεμικοῦ τοὺς ὑπηκόους ἐνέπλησας ἔρωτος, καὶ πᾶσιν εὐθὺς ἀγαθὴ συνέπεσεν ἔρις, ὃς ἀναβήσεται πρῶτος.* [7] *Ἔδοξεν ἄν τις ἐσπουδακότας ἰδών, οὐ πρὸς ἀγῶνα καὶ κίνδυνον αὐτοὺς ἀναβαίνειν, ἀλλ' οἷον ἀγῶνος τετελεσμένου πρὸς τὸ ἆθλον ἐπείγεσθαι· οὕτως ὀλίγαι συλλαβαὶ στρατιώταις ἀρκοῦσι πρὸς εὐτολμίαν ὑφ' ἡγεμόνι χρηστῷ τρεφομένοις.* [8] *Οὔκουν φασὶ καρτερῆσαι τὴν κλίμακα τὴν ὀξύτητα τῶν ἀνιόντων· ἦν δέ, ὡς ἔοικεν, οὐ τύχης ἐπήρεια τοῦτο — οὐ γὰρ ἂν εἷλες τὸν τόπον*(11) —, *ἐπίνοια δέ τις καὶ παρασκευὴ τοῦ δαιμονίου πολλάς σοι πρὸς εὔκλειαν εὐτρεπίζοντος ἀφορμάς.* [9] *Ἐκτετοξευμένων τῶν βελῶν τοῖς ἐπὶ τοῦ τείχους ἑστῶσι, βρόχοις ἐκ θατέρου τῶν ἄκρων ἀρτήσαντες βέλη καὶ τὰς ἄλλας τῶν καλῳδίων ἀρχὰς ἐπὶ*

3. Imitation de Thucydide, I, 24, *Ἐπίδαμνος ἐστι πόλις ἐν δεξιᾷ ἐσπλέοντι τὸν Ἰόνιον κόλπον· προσοικοῦσι δ' αὐτὴν Ταυλάντιοι βάρβαροι, Ἰλλυρικὸν ἔθνος.*

4. «Faut-il écrire *τὰ βασίλεια?*» (Weil.)

5. *διαπορθμεύειν* Ms.

6. *τῶν* ⟨*πράξεών* (ou *ἔργων*) *σου τῶν*⟩ *ἀμέμπτων?* Cf., pour *ἔργων* et *πράξεων*, § I, 4, et la note 15.

7. *θεάσεσθαι?* Cf. 3, *ἐλπισάντων διαπορθμεύ⟨σ⟩ειν.*

8. *τοῖς βιβλίοις* Ms. première main: *ταῖς βίβλοις* seconde main.

9. «Peut-être *ἀριστευόντων.*» (Tournier).

10. Cf. *Oraison funèbre de Procope*, p. 17, l. 2 d'en bas, Boisson., *πάρεστιν ἤδη καιρὸς τὰς ὑμετέρας ἐξετάζων ψυχάς.*

11. Cf. *Éloge de Summus*, p. 30, l. 4 d'en bas, Boisson., *οὐ γὰρ ἂν ἐπράχθη τὸ τολμηθέν.*

τὸ τεῖχος ἀφέντες τοῖς ἄνω, οὕτως αὐτοῖς ἐχορηγεῖτε τοξεύειν. [10] Τοιούτοις ἐκείνων ἀκροβολισμοῖς κεχρημένων, ἕτεροι φλόγα προσῆγον ταῖς πύλαις πνεῦμα τηρήσαντες ἐπιφέρον εἰς αὐτάς(12). [11] Εἰσβιασθέντος(13) οὖν τῷ πνεύματι τοῦ πυρὸς καὶ τοὺς ἀποσβέσαι πειρωμένους . . . , καὶ (14) τῶν ἀπὸ τοῦ τείχους συνεχέσι βολαῖς ἴσα τῷ πυρὶ δυναμένων καὶ τοὺς ἐπὶ τοῦτο θέοντας(15) ἀνακοψάντων πυκνοτέροις τοξεύμασι, καὶ τὰς πύλας ὑμῖν ἀνοίξαντος τοῦ πυρός, διενείμω (16) τοὺς ἐνοικοῦντας εἰς θάνατον καὶ δουλείαν, καὶ παραδέδωκας ἀνδράσι πιστοῖς τὸ χωρίον ἀργυρολογεῖν βασιλεῖ τεταγμένοις. [12] Ἐντεῦθεν ὄνομα (17) τῷ μέλλοντι παραπέμπεται χρόνῳ· ἡ γὰρ ὄψις τοῦ τόπου τὸν θεατὴν αναμιμνήσκει τοῦ γεγονότος(18), καί ποτέ τις [fol. 38] ἐκεῖθέν που παριὼν διηγήσεται τῷ πλησίον· «ἀνδρῶν τόδε τὸ φρούριον μυσαρῶν ἐνδιαίτημα γέγονεν, οὓς πολλῶν ἐλθεῖν τολμησάντων εἷς ἀνὴρ ἠδυνήθη(19)·» ὃ καὶ μάλιστά γε τῶν σῶν ἄξιον ἀγασθῆναι· τὸ γάρ, ἀνδρῶν ἤδη μαχίμων διαμαρτόντων καὶ πρὸς δευτέραν ἀπεγνωκότων πεῖραν, εἰς ἔννοιάν σε λαβεῖν τοῦ χωρίου τὴν ἐπικράτησιν, μάλα θαρροῦντός(20) ἐστι τῇ περιουσίᾳ τῆς εὐψυχίας. [13] Τοῦ γὰρ ἐξ ἀρχῆς ἔργοις ἐπιχειροῦντος μεγάλοις ὁ μετὰ τὸν ἀποτυχόντα(21) τοῖς αὐτοῖς ἐγχειρῶν θαυμαστότερος ἐκείνου τὴν προθυμίαν, κἂν ἐφ' ἑκατέρου τὸ μὴ κατορθῶσαι συμβῇ· εἰ δέ τις καὶ πρὸς ἔργον ἄγοι τὴν γνώμην(22), οὗτος ἐκεῖνός ἐστιν ὁ φθόνου τὴν ἀρετὴν ἀνωτέρω λαχών.

§ XV. Οἶδα τοίνυν τινὰς οἵ, πρὶν εἰς ἀρχὴν παρελθεῖν, ἵνα τύχωσι ταύτης, ἐπιεικείας ἐκφέρουσι δεῖγμα καί, χρηστῆς ἀπογεύσαντες ἐλπίδος τοὺς ἐντυγχάνοντας, ἐπειδὰν λάβωνται τοῦ ποθουμένου, πρὸς τὴν οἰκείαν ὑποφέρουσι φύσιν, εἰς πλεονεξίαν τὸν χρόνον ἀναλίσκοντες τῆς ἐξουσίας· ἀλλ' ἀμφοτέροις ὑμῖν τὰ

12. αὐτήν Ms.
13. ἐκβιασθέντος Ms.
14. ἀποσβέσαι πειρωμένους καὶ (sans trace de lacune) Ms. Il doit être tombé, soit après, soit avant πειρωμένους un mot de même sens que ἀπελαύνοντος, ἐξωθοῦντος.
15. θεῶντας Ms.
16. L'emploi du moyen ne s'explique guère ici. [Plus loin, sans doute παρέδωκας. — Réd.]
17. Il faut sans doute restituer Ἐντεῦθεν ⟨τὸ σὸν⟩ ὄνομα.
18. On lit ici χρήσιμον à la marge du Ms.
19. Peut-être faut-il restituer οὕς, πολλῶν ⟨ἐπ⟩ελθεῖν τολμησάντων, ⟨ἑλεῖν⟩ εἷς ἀνὴρ ἠδυνήθη.
20. θαρροῦντές Ms.
21. Peut-être μετ' αὐτὸν ἀποτυχόντα.
22. « Conduit son dessein jusqu'à l'exécution.» Sur la syntaxe de cette phrase, cf. § I, note 16.

μὲν πρὸ τοῦδε πεπραγμένα τοῦ σχήματος ἄξια τῆς παρούσης ἀρχῆς, τὰ δὲ τῆς ἡγεμονίας αὐτῆς ἑτέρας ἄξια μείζονος(1). [2] *Τὸ δὲ παράδοξον* (2) — *βασκανίας γὰρ ἑπομένης τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον* (3), *ἄλλως θ'* (4) *ὅταν ἴσαι μὲν ἀρεταί, ἴσαι δὲ τύχαι, καὶ μία μὲν πρὸς βασιλέα σπουδή, μία δὲ παρὰ βασιλέως εὔνοια καὶ τιμή, μόνοι πρὸς τοῦτον ἁμιλλᾶσθε τὸν λόγον* —, *τίνας ἡμῖν οἱ πολέμους ἀρχαίους συγγράψαντες τοιούτους παρέδωκαν ἀλλήλοις οὕτω συμπνέοντας καὶ φιλίαν ἄδολον καὶ σαφῆ κεκτημένους;* [3] *Εὐαγόραν τὸν Σαλαμίνιον καὶ Κόνωνα τὸν Ἀθηναῖόν φασιν ὁμογνώμονας εἶναι καὶ φίλους· ὑμεῖς τοίνυν ἐκείνους ὅσον τοῖς ἔργοις ὑπερεβάλλεσθε, τοσοῦτον τῇ πρὸς ἀλλήλους εὐνοίᾳ.* [4] *Ἐπεὶ δ' Εὐαγόρας ἐμοὶ καὶ Κόνων εἰσῆλθε, συνεισῆλθεν ὁ Ζεὺς τῶν Ἀθηναίων τὸ φιλοτέχνημα· παρὰ τοῦτον γὰρ εἱστήκεσαν τὸν θεὸν ἄμφω χαλκοῖ* (5)· *ὡς ἔδει καὶ νῦν τῶν ἐργαζομένων ταῦτα τὸν ἄριστον ἐκεῖνο ζηλῶσαι τὸ σχῆμα καὶ μέσον ὑμῶν ἀμφοτέρων βασιλέα δημιουργῆσαι* (6). [5] *Ἐτίμησα ⟨δ'⟩ ἂν ὑμᾶς τοιῷδε καὐτὸς* (7) *ἐπιγράμματι* (8). «*Αἱ πόλεις τοὺς ἄρχοντας ἑκατέρωθεν βασιλέως ἀνδραγαθίας ἕνεκα καὶ δικαιοσύνης.*»

Εἴργασταί μοι μηδὲν ὑποθωπεύσας ὁ λόγος, καὶ [fol. 39] *τιμῶ τούτοις ὑμᾶς οἷς τυγχάνω δυνάμενος, καὶ γένοιτο λαμπροτέρων ἀρχῶν τὰς ἡνίας ἄμφω παραλαβεῖν* (9) *καὶ* (10) *τοὺς ἐμοὺς λόγους ἀεὶ ταῖς ὑμετέραις συναύξεσθαι τύχαις* (11).

---

§ XV.] 1. Ces paroles de l'orateur ne tardèrent pas à recevoir une éclatante confirmation : en 536, la province de *Palestine première* fut érigée par Justinien en proconsulat avec suprématie du proconsul sur le gouverneur de *Palestine seconde*, et le premier proconsul qui fut nommé fut Stéphanos lui-même. Quant à Aratios, il fut appelé, comme on a vu dans l'introduction, en Italie, et devint l'un des principaux lieutenants de Bélisaire.

2. Cf. *Éloge de Marcien*, I, p. 90, l. 6 d'en bas, Boisson., *τὸ δὲ παράδοξον· τῶν ἔργων κτλ.*

3. Imitation de Thucydide, II, 45, *φθόνος γὰρ τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον.*

4. *τε* Ms. — Pour *ἄλλως τε*, cf. § III, note 23.

Κ. Πάνυ μὲν οὖν, ἔφη· τὰ δέ γε βλάπτοντα ζημίαν ἔγωγε νομίζω μᾶλλον ἢ χρήματα.

Σ. Κἂν ἄρα γέ τις ἵππον πριάμενος μὴ ἐπίστηται αὐτῷ χρῆσθαι, ἀλλὰ καταπίπτων ἀπ' αὐτοῦ κακὸν λαμβάνῃ, οὐ χρήματα αὐτῷ ἐστιν ὁ ἵππος[13];

Κ. Οὔκ, εἴπερ τὰ χρήματά γ' ἐστὶν ἀγαθόν[14].

Σ. Οὐδ' ἄρα γε ἡ γῆ ἀνθρώπῳ ἐστὶ χρήματα, ὅστις οὕτως ἐργάζεται αὐτὴν ὥστε ζημιοῦσθαι ἐργαζόμενος;

Κ. Οὐδὲ ἡ γῆ μέντοι[15] χρήματά ἐστιν, εἴπερ ἀντὶ τοῦ τρέφειν πεινῆν παρασκευάζει.

Σ. Οὐκοῦν καὶ τὰ πρόβατα ὡσαύτως, εἴ τις διὰ τὸ μὴ ἐπίστασθαι προβάτοις χρῆσθαι ζημιοῖτο, οὐδὲ τὰ πρόβατα χρήματα τούτῳ εἴη ἄν;

Κ. Οὔκουν ἔμοιγε δοκεῖ[16].

Σ. Σὺ ἄρα, ὡς ἔοικε, τὰ μὲν ὠφελοῦντα χρήματα ἡγεῖ[17], τὰ δὲ βλάπτοντα οὐ χρήματα.

Κ. Οὕτως.

Σ. Ταὐτὰ ἄρα ὄντα τῷ μὲν ἐπισταμένῳ χρῆσθαι αὐτῶν ἑκάστοις χρήματά ἐστι, τῷ δὲ μὴ ἐπισταμένῳ οὐ χρήματα· ὥσπερ γε αὐλοὶ τῷ μὲν ἐπισταμένῳ ἀξίως λόγου αὐλεῖν χρήματά εἰσι, τῷ δὲ μὴ ἐπισταμένῳ οὐδὲν μᾶλλον ἢ ἄχρηστοι λίθοι — εἰ μὴ ἀποδιδοῖτό γε αὐτούς —. Τοῦτ' οὖν φαίνεται ἡμῖν, ἀποδιδομένοις μὲν οἱ αὐλοὶ χρήματα, μὴ ἀποδιδομένοις δέ, ἀλλὰ κεκτημένοις, οὔ — τοῖς μὴ ἐπισταμένοις αὐτοῖς χρῆσθαι —.

Κ. Καὶ ὁμολογουμένως γε, ὦ Σώκρατες, ὁ λόγος ἡμῖν χωρεῖ, ἐπείπερ εἴρηται τὰ ὠφελοῦντα χρήματα εἶναι[18]. Μὴ πωλούμενοι μὲν γὰρ οὐ χρήματά εἰσιν οἱ αὐλοί· οὐδὲν γὰρ χρήσιμοι· πωλούμενοι δὲ χρήματα.

Πρὸς ταῦτα δ' ὁ Σωκράτης εἶπεν·

Σ. [illegible]

[illegible]

τοῦτο ᾧ μὴ ἐπίσταιτο χρῆσθαι, οὐδὲ πωλούμενοί εἰσι χρήματα κατά γε τὸν σὸν λόγον.

Κ. Λέγειν ἔοικας, ὦ Σώκρατες, ὅτι οὐδὲ τὸ ἀργύριόν ἐστι χρήματα, εἰ μή τις ἐπίσταιτο χρῆσθαι αὐτῷ.

Σ. Καὶ σὺ δέ μοι δοκεῖς συνομολογεῖν λέγων, ἀφ' ὧν τις ὠφελεῖσθαι δύναται, χρήματα εἶναι. Εἰ γοῦν τις οὕτω χρῷτο τῷ ἀργυρίῳ ὥστε, πριάμενος οἷον ἑταίραν, διὰ ταύτην κάκιον (21) μὲν τὸ σῶμα ἔχοι, κάκιον δὲ τὴν ψυχήν, κάκιον δὲ τὸν οἶκον, πῶς ἂν ἔτι τὸ ἀργύριον αὐτῷ ὠφέλιμον εἴη;

Κ. Οὐδαμῶς, εἰ μή πέρ γε καὶ τὸν ὑοσκύαμον (22) καλούμενον χρήματα εἶναι φήσομεν, ὑφ' οὗ οἱ φαγόντες παραπλῆγες γίγνονται.

Σ. Τὸ μὲν δὴ ἀργύριον, εἰ μή τις ἐπίσταιτο αὐτῷ χρῆσθαι, οὕτω πόρρω ἀπωθείσθω, ὦ Κριτόβουλε, ὥστε μηδὲ χρήματα εἶναι (23). Οἱ δὲ φίλοι, ἤν τις ἐπίστηται αὐτοῖς χρῆσθαι ὥστε ὠφελεῖσθαι ἀπ' αὐτῶν, τί φήσομεν αὐτοὺς εἶναι;

Κ. Χρήματα, νὴ Δί', ἔφη ὁ Κριτόβουλος, καὶ πολύ γε μᾶλλον ἢ τοὺς βοῦς, ἤν ὠφελιμώτεροί γε ὦσι (24) τῶν βοῶν.

Σ. Καὶ οἱ ἐχθροί γε ἄρα κατά γε τὸν σὸν λόγον χρήματά εἰσι τῷ δυναμένῳ ἀπὸ τῶν ἐχθρῶν ὠφελεῖσθαι.

Κ. Ἐμοὶ γοῦν δοκεῖ.

Σ. Οἰκονόμου ἄρα ἐστὶν ἀγαθοῦ καὶ τοῖς ἐχθροῖς ἐπίστασθαι χρῆσθαι ὥστε ὠφελεῖσθαι ἀπὸ τῶν ἐχθρῶν (25).

Κ. Ἰσχυρότατά γε.

. . . . (26)

Σ. Καὶ γὰρ δὴ ὁρᾷς, ἔφη, ὦ Κριτόβουλε, ὅσοι μὲν δὴ οἶκοι ἰδιωτῶν ηὐξημένοι εἰσὶν ἀπὸ πολέμου, ὅσοι δὲ τυράννων.

---

21. *Κάκιον*, adverbe (les trois fois): «en plus mauvais état.»
22. *Ὑοσκύαμον*, *jusquiame*, genre de la famille des Solanées renfermant une quinzaine d'espèces, toutes plantes herbacées; toutes les jusquiames sont narcotiques et vénéneuses.
23. *Τὸ μὲν.... εἶναι.* «L'argent, tant qu'il est entre les mains d'homme qui n'en sçait user, renvoyons le si loing et en faisons si peu de compte, qu'il ne soit pas seulement compté entre les biens de celuy qui l'a.» (Trad. d'Estienne de la Boëtie.)
24. *Ἤν γε* peut se traduire ici par «s'il est vrai que».
25. *Ὠφελεῖσθαι ἀπὸ τῶν ἐχθρῶν*. Plutarque, frappé à la lecture de l'*Économique*, de la portée de cette formule: *tirer parti de ses ennemis*, composa, pour la développer, un petit traité, qui nous a été conservé, parmi ses *Œuvres morales*, sous le titre *Πῶς ἄν τις ὑπ' ἐχθρῶν ὠφελοῖτο*.
26. Le texte, à ce qu'il semble, présente ici une lacune considérable. Socrate devait exposer, dans cette partie perdue du texte, comment on peut tirer parti de ses ennemis: ce n'est pas seulement en leur faisant la guerre qu'on peut retirer d'eux du profit.

K. Ἀλλὰ γὰρ τὰ μὲν καλῶς ἔμοιγε δοκεῖ λέγεσθαι, ὦ Σώκρατες, ἔφη ὁ Κριτόβουλος, ἐκεῖνο δ' ἡμῖν τί φαίνεται, ὁπόταν ὁρῶμέν τινας ἐπιστήμας μὲν ἔχοντας καὶ ἀφορμὰς ἀφ' ὧν δύνανται ἐργαζόμενοι αὔξειν τοὺς οἴκους, αἰσθανόμεθα δὲ αὐτοὺς ταῦτα μὴ θέλοντας ποιεῖν, καὶ διὰ τοῦτο ὁρῶμεν ἀνωφελεῖς οὔσας αὐτοῖς τὰς ἐπιστήμας; Ἄλλο τι ἢ τούτοις αὖ οὔτε αἱ ἐπιστῆμαι χρήματά εἰσιν οὔτε τὰ κτήματα (27);

Σ. Περὶ δούλων μοι, ἔφη ὁ Σωκράτης, ἐπιχειρεῖς, ὦ Κριτόβουλε, διαλέγεσθαι;

K. Οὐ μὰ Δί', ἔφη, οὐκ ἔγωγε, ἀλλὰ καὶ πάνυ εὐπατριδῶν (28) ἐνίων (29) γε δοκούντων εἶναι, οὓς ἐγὼ ὁρῶ τοὺς μὲν καὶ πολεμικάς, τοὺς δὲ καὶ (30) εἰρηνικὰς ἐπιστήμας ἔχοντας, ταύτας δὲ οὐκ ἐθέλοντας ἐργάζεσθαι, ὡς μὲν ἐγὼ οἶμαι, δι' αὐτὸ τοῦτο ὅτι δεσπότας οὐκ ἔχουσιν.

Σ. Καὶ πῶς ἄν, ἔφη ὁ Σωκράτης, δεσπότας οὐκ ἔχοιεν, εἰ, εὐχόμενοι εὐδαιμονεῖν καὶ ποιεῖν βουλόμενοι ἀφ' ὧν ἔχοιεν ἀγαθά, ἔπειτα κωλύονται ποιεῖν ταῦτα ὑπὸ τῶν ἀρχόντων;

K. Καὶ τίνες δὴ οὗτοί εἰσιν, ἔφη ὁ Κριτόβουλος, οἳ ἀφανεῖς ὄντες ἄρχουσιν αὐτῶν;

Σ. Ἀλλά, μὰ Δί', ἔφη ὁ Σωκράτης, οὐκ ἀφανεῖς εἰσιν, ἀλλὰ καὶ πάνυ φανεροί. Καὶ ὅτι πονηρότατοί γέ εἰσιν, οὐδὲ σὲ λανθάνουσιν, εἴπερ πονηρίαν γε νομίζεις ἀργίαν τ' εἶναι καὶ μαλακίαν ψυχῆς καὶ ἀμέλειαν. Καὶ ἄλλαι δ' εἰσὶν ἀπατηλαί τινες δέσποιναι προσποιούμεναι ἡδοναὶ εἶναι, κυβεῖαί τε καὶ ἀνωφελεῖς ἀνθρώπων ὁμιλίαι, αἳ προϊόντος τοῦ χρόνου καὶ αὐτοῖς τοῖς ἐξαπατηθεῖσι καταφανεῖς γίγνονται ὅτι λῦπαι ἄρα ἦσαν ἡδοναῖς περιπεπεμμέναι, αἳ διακωλύουσιν αὐτοὺς ἀπὸ τῶν ὠφελίμων ἔργων κρατοῦσαι.

K. Ἀλλὰ καὶ ἄλλοι, ἔφη, ὦ Σώκρατες, ἐργάζεσθαι μὲν οὐ κωλύονται ὑπὸ τούτων, ἀλλὰ καὶ πάνυ σφοδρῶς πρὸς τὸ ἐργά-

---

27. *Οὔτε αἱ .... κτήματα.* Ni leurs talents, *αἱ ἐπιστῆμαι*, ni leurs biens, *τὰ κτήματα* (équivalent à *ἀφορμάς*, cinq lignes plus haut), ne sont richesses, *χρήματα*, pour ces personnes.

28. *Εὐπατριδῶν.* La tradition faisait remonter à Thésée l'antique division du peuple athénien en 3 classes, à savoir: les *εὐπατρίδαι* ou la noblesse, les *γεωμόροι* ou la classe bourgeoise et les petits propriétaires du sol, enfin les *δημιουργοί*, les ouvriers ou la basse classe.

29. *Ἐνίων* dépend de *περὶ*, qui est sous-entendu comme ayant été exprimé à la phrase précédente devant *δούλων*. En pareil cas le grec ne répète jamais la préposition.

30. Souvent les deux membres d'une opposition sont ainsi marqués par *ὁ μὲν καὶ ...., ὁ δὲ καὶ ....*

ζεσθαι ἔχουσι καὶ μηχανᾶσθαι προσόδους· ὅμως δὲ καὶ τοὺς οἴκους κατατρίβουσι καὶ ἀμηχανίαις συνέχονται.

Σ. Δοῦλοι γάρ εἰσι καὶ οὗτοι, ἔφη ὁ Σωκράτης, καὶ πάνυ γε χαλεπῶν δεσποτῶν, οἱ μὲν λιχνειῶν, οἱ δὲ λαγνειῶν, οἱ δὲ οἰνοφλυγιῶν, οἱ δὲ φιλοτιμιῶν τινων μώρων καὶ δαπανηρῶν, ἃ οὕτω χαλεπῶς ἄρχει τῶν ἀνθρώπων ὧν ἂν ἐπικρατήσωσιν, ὥσθ' ἕως μὲν ἂν ὁρῶσιν ἡβῶντας αὐτοὺς καὶ δυναμένους ἐργάζεσθαι, ἀναγκάζουσι φέρειν ἃ ἂν αὐτοὶ ἐργάσωνται (31) καὶ τελεῖν εἰς τὰς αὐτῶν ἐπιθυμίας, ἐπειδὰν δὲ αὐτοὺς ἀδυνάτους αἴσθωνται ὄντας ἐργάζεσθαι διὰ τὸ γῆρας, ἀπολείπουσι τούτους κακῶς γηράσκειν (32), ἄλλοις δ' αὖ πειρῶνται δούλοις (33) χρῆσθαι. Ἀλλὰ δεῖ, ὦ Κριτόβουλε, πρὸς ταῦτα οὐχ ἧττον διαμάχεσθαι περὶ τῆς ἐλευθερίας ἢ πρὸς τοὺς σὺν ὅπλοις πειρωμένους καταδουλοῦσθαι. Πολέμιοι γοῦν ἤδη, ὅταν καλοὶ κἀγαθοὶ ὄντες καταδουλώσωνταί τινας, πολλοὺς δὴ βελτίους ἠνάγκασαν εἶναι σωφρονίσαντες, καὶ ῥᾷον βιοτεύειν τὸν λοιπὸν χρόνον ἐποίησαν· αἱ δὲ τοιαῦται δέσποιναι αἰκιζόμεναι τὰ σώματα τῶν ἀνθρώπων καὶ τὰς ψυχὰς καὶ τοὺς οἴκους οὔποτε λήγουσιν, ἔστ' ἂν (34) ἄρχωσιν αὐτῶν.

CHAPITRE II.

Ὁ οὖν Κριτόβουλος ἐκ τούτων (1) ὧδέ πως εἶπεν·

Κ. Ἀλλὰ περὶ μὲν τῶν τοιούτων ἀρκούντως πάνυ μοι δοκῶ τὰ λεγόμενα ὑπὸ σοῦ ἀκηκοέναι· αὐτὸς δ' ἐμαυτὸν ἐξετάζων δοκῶ μοι εὑρίσκειν ἐπιεικῶς τῶν τοιούτων ἐγκρατῆ ὄντα, ὥστ', εἴ μοι συμβουλεύοις ὅ τι ἂν ποιῶν αὔξοιμι τὸν οἶκον, οὐκ ἄν μοι δοκῶ ὑπό γε τούτων ὧν σὺ δεσποινῶν (2) καλεῖς κωλύεσθαι· ἀλλὰ θαρρῶν συμβούλευε ὅ τι ἔχεις ἀγαθόν. Ἢ κατέγνωκας ἡμῶν, ὦ Σώκρατες, ἱκανῶς πλουτεῖν καὶ οὐδὲν δοκοῦμεν σοι προσδεῖσθαι χρημάτων;

Σ. Οὔκουν ἔγωγ', ἔφη ὁ Σωκράτης, εἰ καὶ περὶ ἐμοῦ (3) λέγεις,

---

31. Ἀναγκάζουσι .... ἐργάσωνται. « Elles les contraignent de leur porter tout ce qu'ils tirent de la peine qu'ils prennent. » (La Boëtie.) Φέρειν, de leur apporter (comme un tribut).

32. Κακῶς γηράσκειν, vieillir misérablement.

33. Ἄλλοις .... δούλοις, d'autres *comme* esclaves.

34. Ἔστ' ἄν, tant que, pendant tout le temps que.

Ch. II.] 1. Ἐκ τούτων, là-dessus, alors.

2. Pour ὑπό γε τούτων ἃς σὺ δεσποίνας καλεῖς (attraction). Ἄν tombe sur l'infinitif κωλύεσθαι.

3. Καὶ περὶ ἐμοῦ, aussi de moi. Critoboulos, en employant le pluriel (ἡμῶν, δοκοῦμεν), ne voulait parler que de lui seul. Socrate, par plaisanterie, a l'air de croire qu'il parlait d'eux deux.

οὐδέν μοι δοκῶ προσδεῖσθαι χρημάτων, ἀλλ' ἱκανῶς πλουτεῖν (4)· *σὺ μέντοι, ὦ Κριτόβουλε, πάνυ μοι δοκεῖς πένεσθαι, καὶ, ναὶ μὰ Δί', ἔστιν ὅτε καὶ πάνυ οἰκτείρω σε ἐγώ.*

Καὶ ὁ Κριτόβουλος γελάσας εἶπε·

Κ. Καὶ πόσον ἂν (5), *πρὸς τῶν θεῶν, οἴει, ὦ Σώκρατες, ἔφη, εὑρεῖν* (6) *τὰ σὰ κτήματα πωλούμενα, πόσον δὲ τὰ ἐμά;*

Σ. Ἐγὼ μὲν οἶμαι, ἔφη ὁ Σωκράτης, εἰ ἀγαθοῦ ὠνητοῦ ἐπιτύχοιμι, εὑρεῖν ἄν μοι σὺν τῇ οἰκίᾳ καὶ τὰ ὄντα πάντα πάνυ ῥᾳδίως πέντε μνᾶς· τὰ μέντοι σὰ ἀκριβῶς οἶδα ὅτι πλέον ἂν εὕροι ἢ ἑκατονταπλασίονα τούτου.

Κ. Κᾆτα, οὕτως ἐγνωκὼς (7), *σὺ μὲν οὐχ ἡγεῖ* (8) *προσδεῖσθαι χρημάτων, ἐμὲ δὲ οἰκτείρεις ἐπὶ τῇ πενίᾳ;*

Σ. Τὰ μὲν γὰρ ἐμὰ, ἔφη, ἱκανά ἐστιν ἐμοὶ παρέχειν τὰ ἐμοὶ ἀρκοῦντα· εἰς δὲ τὸ σὸν σχῆμα ὃ σὺ περιβέβλησαι (9) *καὶ τὴν σὴν δόξαν, οὐδ' εἰ τρὶς ὅσα νῦν κέκτησαι προσγένοιτό σοι* (10), *οὐδ' ὣς ἱκανά μοι δοκεῖ εἶναί σοι.*

Κ. Πῶς δὴ τοῦτ'; ἔφη ὁ Κριτόβουλος.

Ἀπεφήνατο ὁ Σωκράτης·

Σ. Ὅτι πρῶτον μὲν ὁρῶ σοι ἀνάγκην οὖσαν θύειν πολλά τε καὶ μεγάλα (11), *ἢ οὔτε θεοὺς οὔτε ἀνθρώπους οἶμαί σε ἂν ἀνασχέσθαι· ἔπειτα ξένους προσήκει σοι πολλοὺς δέχεσθαι, καὶ τούτους μεγαλοπρεπῶς* (12)· *ἔπειτα δὲ πολίτας δειπνίζειν* (13) *καὶ εὖ*

---

4. *Ἀλλ' ἱκανῶς* . . . . Entendez: *ἀλλά μοι δοκῶ ἱκανῶς πλουτεῖν.*

5. *Ἂν* tombe sur l'infinitif. Ainsi, supprimez *οἴει*, et vous aurez: *πόσον ἂν εὕροι κτλ.*

6. *Εὑρεῖν*, se vendre.

7. *Κᾆτα* . . . . C'est comme s'il y avait: *Καὶ οὕτως ἐγνωκώς, εἶτα κτλ.*

8. *Ἡγεῖ*. Cf. page 246, note 17.

9. *Τὸ σὸν* . . . . *περιβέβλησαι*: le train de maison que tu as.

10. *Εἰ τρὶς* . . . . *σοι*. « S'il t'en venoit encores trois fois autant que tu en as à ceste heure. » (La Boëtie.) C'est-à-dire si ta fortune était *quadruplée*.

11. *Ἀνάγκην* . . . . *μεγάλα*. Obligation, non définie d'ailleurs par la loi, pour le riche de faire souvent de beaux sacrifices aux dieux. En y manquant, 1° il n'eût pas attiré sur sa patrie la protection des *dieux*, 2° pour cela même, et aussi parce que c'était l'usage de distribuer les viandes des victimes au peuple, il eût indisposé contre lui les *hommes*.

12. *Ξένους* . . . . *μεγαλοπρεπῶς*. Obligation morale pour le riche d'exercer l'hospitalité envers les citoyens d'autres villes qui venaient dans sa patrie, soit pour exercer une mission publique, soit même en simples particuliers; on y gagnait quelquefois le titre de « proxène et bienfaiteur » de ces villes, mais au moins du crédit auprès des cités étrangères et, partant, de l'influence dans sa propre patrie.

13. *Πολίτας δειπνίζειν*. Les citoyens d'une même tribu se réunissaient, à des époques réglées, pour prendre un repas en commun. Les frais d'un de ces banquets montaient, approximativement, à un minimum de 700

ποιεῖν, ἢ ἔρημον συμμάχων εἶναι. Ἔτι δὲ καὶ τὴν πόλιν αἰσθάνομαι τὰ μὲν ἤδη σοι προστάττουσαν ἱπποτροφίας (14) τε καὶ χορηγίας (15) καὶ γυμνασιαρχίας (16) καὶ προστατείας (17)· ἢν δὲ δὴ πόλεμος γένηται, οἶδ' ὅτι καὶ τριηραρχίας (18) καὶ εἰσφορὰς (19) τοσαύτας σοι προστάξουσιν ὅσας σὺ οὐ ῥᾳδίως ὑποίσεις. Ὅπου δ' ἂν ἐνδεῶς δόξῃς τι τούτων ποιεῖν, οἶδ' ὅτι σε τιμωρήσονται Ἀθηναῖοι οὐδὲν ἧττον ἢ εἰ τὰ αὐτῶν λάβοιεν κλέπτοντα. Πρὸς δὲ τούτοις ὁρῶ σε οἰόμενον πλουτεῖν, καὶ ἀμελῶς μὲν ἔχοντα πρὸς τὸ μηχανᾶσθαι χρήματα, παιδικοῖς δὲ πράγμασι προσέχοντα τὸν νοῦν, ὥσπερ ἐξόν σοι (20)· Ὧν ἕνεκα οἰκτείρω σε μή (21) τι ἀνήκεστον κακὸν πάθῃς καὶ εἰς πολλὴν ἀπορίαν καταστῇς. Καὶ ἐμοὶ μεν, εἴ τι καὶ προσδεηθείην, οἶδ' ὅτι καὶ σὺ γιγνώσκεις ὡς εἰσὶν οἳ καὶ ἐπαρκέσειαν (22) ἂν ὥστε, πάνυ μικρὰ πορίσαντες, κατακλύσειαν (22) ἂν ἀφθονίᾳ τὴν ἐμὴν δίαιταν· οἱ δὲ σοι φίλοι

---

francs de la monnaie d'alors. La dépense était supportée, ainsi que celles des autres charges publiques dont il est question dans la suite de la phrase, par les riches de chaque tribu, à partir d'une fortune minimum d'environ 18 000 fr. (monnaie d'alors), à tour de rôle suivant un ordre déterminé par la loi.

14. Ἱπποτροφίας. Les citoyens des deux classes les plus élevées d'Athènes devaient entretenir des chevaux, 1° en vue du service militaire, dont ils s'acquittaient dans la cavalerie; 2° pour figurer à cheval dans les processions aux fêtes religieuses. 3° Il était de bon ton de *faire courir* dans les grands jeux de la Grèce (jeux Olympiques, etc.)

15. Χορηγίας. La *chorégie* consistait à faire les frais d'instruction et de costume pour les chœurs qui figuraient dans les solennités religieuses, tels que les chœurs cycliques (voy. la note antépénultième du Chap. VIII), chœurs de pyrrhique (sorte de danse), chœurs des tragédies et des comédies; les frais de toute sorte qu'entraînaient les représentations théâtrales étaient à la charge des choréges.

16. Γυμνασιαρχίας La *gymnasiarchie* ou *lampadarchie* consistait principalement à faire les frais des *courses aux flambeaux* qui se donnaient à l'occasion des grandes fêtes. comme les Panathénées ou fêtes d'Athéné, les fêtes en l'honneur de Prométhée, d'Héphaistos, etc.

17. Προστατείας, les présidences (en général). Certaines présidences, notamment celle des θεωρίαι, ou l'archithéorie, étaient fort coûteuses. (*Théorie*, députation publique envoyée pour prendre part à la fête d'une divinité, célébrée dans une ville étrangère.)

18. Τριηραρχίας. La *triérarchie*, la plus lourde des charges à Athènes, consistait dans la participation à l'armement ou à l'entretien de la flotte.

19. Εἰσφοράς, contributions extraordinaires payées par les citoyens pour subvenir aux frais de guerre.

20. Ὥσπερ ἐξόν σοι équivaut à *ὥσπερ εἰ ἐξείη σοι.*

21. Μή est commandé par l'idée de *craindre*, qui est sous-entendue: «Voilà pourquoi j'ay pitié de toi. *et ay grand peur* que à la fin il ne t'en faille souffrir quelque mal incurable.» (La Boëtie.)

22. Ἐπαρκέσειαν, κατακλύσειαν. Les formes d'optatif en ειας, ειε, ειαν, étaient employées par les Attiques de préférence à celles en αις, αι, αιεν.

πολὺ ἀρκοῦντα σοῦ μᾶλλον ἔχοντες τῇ ἑαυτῶν κατασκευῇ ἢ σὺ τῇ σῇ (23) ὅμως ὡς παρὰ σοῦ ὠφελησόμενοι ἀποβλέπουσι.

Καὶ ὁ Κριτόβουλος εἶπεν·

Κ. Ἐγὼ τούτοις, ὦ Σώκρατες, οὐκ ἔχω ἀντιλέγειν· ἀλλ' ὥρα σοι προστατεύειν ἐμοῦ (24), ὅπως μὴ τῷ ὄντι οἰκτρὸς γένωμαι.

Ἀκούσας οὖν ὁ Σωκράτης εἶπε·

Σ. Καὶ οὐ θαυμαστὸν δοκεῖς, ὦ Κριτόβουλε, τοῦτο σαυτῷ ποιεῖν ὅτι ὀλίγον μὲν πρόσθεν, ὅτε ἐγὼ ἔφην πλουτεῖν, ἐγέλασας ἐπ' ἐμοὶ ὡς οὐδὲ εἰδότι ὅ τι εἴη πλοῦτος, καὶ πρότερον οὐκ ἐπαύσω πρὶν ἐξήλεγξάς με καὶ ὁμολογεῖν ἐποίησας μηδὲ ἑκατοστὸν μέρος τῶν σῶν (25) κεκτῆσθαι, νῦν δὲ κελεύεις προστατεύειν μέ σου καὶ ἐπιμελεῖσθαι ὅπως ἂν μὴ παντάπασιν ἀληθῶς πένης γένοιο;

Κ. Ὁρῶ γάρ (26) σε, ἔφη, ὦ Σώκρατες, ἕν τι πλουτηρὸν ἔργον ἐπιστάμενον, περιουσίαν ποιεῖν (27). Τὸν οὖν ἀπ' ὀλίγων περιποιοῦντα (28) ἐλπίζω ἀπὸ πολλῶν γ' ἂν πάνυ ῥᾳδίως πολλὴν περιουσίαν ποιῆσαι.

Σ. Οὔκουν μέμνησαι ἀρτίως ἐν τῷ λόγῳ, ὅτε οὐδ' ἀναγρύζειν μοι ἐξουσίαν ἐποίησας (29), λέγων (30) ὅτι τῷ μὴ ἐπισταμένῳ ἵπποις χρῆσθαι οὐκ εἴη χρήματα οἱ ἵπποι, οὐδὲ ἡ γῆ, οὐδὲ τὰ πρόβατα, οὐδὲ ἀργύριον, οὐδὲ ἄλλο οὐδὲ ἕν, ὅτῳ τις μὴ ἐπίσταιτο χρῆσθαι; Εἰσὶ μὲν οὖν (31) αἱ πρόσοδοι ἀπὸ τῶν τοιούτων· ἐμὲ δὲ πῶς τινι τούτων οἴει ἂν ἐπιστηθῆναι χρῆσθαι, ᾧ τὴν ἀρχὴν (32) οὐδὲν πώποτ' ἐγένετο τούτων;

---

23. *Πολὺ . . . . τῇ σῇ.* Construisez: *ἔχοντες πολὺ μᾶλλον σοῦ ἀρκοῦντα τῇ ἑαυτῶν κατασκευῇ.* Quant aux mots *ἢ σὺ τῇ σῇ*, ils forment pléonasme, et sont ajoutés pour la plus grande clarté de la pensée.

24. *Προστατεύειν ἐμοῦ*, me patronner, te faire mon *προστάτης*. Les étrangers domiciliés à Athènes étaient tenus de se choisir parmi les citoyens un protecteur ou patron, qu'on appelait leur *προστάτης*.

25. *Τὰ σά*, ta fortune.

26. Trad. ici *γὰρ* par C'est que.

27. *Ἐπιστάμενον* régit d'abord *ἓν . . . . ἔργον*, puis encore *περιουσίαν ποιεῖν*.

28. *Περιποιεῖν*, mettre de côté, faire des économies, comme *περιουσίαν ποιεῖν*.

29. Voy. ci-dessus, chap. 1er, pages 246 et suiv. A entendre Socrate, c'est Critoboulos qui aurait affirmé de lui-même toutes ces propositions, sans permettre même à Socrate de dire mot. Au vrai, Socrate lui avait fait dire ce qu'il voulait qu'il dît. C'est là essentiellement le procédé socratique.

30. *Οὔκουν μέμνησαι λέγων*, ne te souviens-tu pas de ce que tu disais? *Λέγων* a ici le sens de l'imparfait; c'est comme s'il y avait *ὅτι ἔλεγες*.

31. *Μὲν οὖν, quidem certe.*

32. *Τὴν ἀρχὴν οὐδέν*, absolument rien.

Κ. Ἀλλ' ἐδόκει ἡμῖν καὶ εἰ μὴ χρήματά τις τύχοι ἔχων, ὅμως εἶναί τις ἐπιστήμη οἰκονομίας (33). Τί οὖν κωλύει καὶ σὲ ἐπίστασθαι;

Σ. Ὅπερ (34), νὴ Δία, καὶ αὐλεῖν ἂν κωλύσειν ἄνθρωπον ἐπίστασθαι, εἰ μήτε αὐτὸς πώποτε κτήσαιτο αὐλούς, μήτε ἄλλος αὐτῷ παράσχοι ἐν τοῖς αὐτοῦ μανθάνειν· οὕτω δὴ καὶ ἐμοὶ ἔχει περὶ τῆς οἰκονομίας. Οὔτε γὰρ αὐτὸς ὄργανα χρήματα ἐκεκτήμην ὥστε μανθάνειν (35), οὔτε ἄλλος πώποτέ μοι παρέσχε τὰ ἑαυτοῦ διοικεῖν ἀλλ' ἢ σὺ νυνὶ ἐθέλεις παρέχειν. Οἱ δὲ δήπου τὸ πρῶτον μανθάνοντες κιθαρίζειν καὶ τὰς λύρας (36) λυμαίνονται· καὶ ἐγὼ δὴ εἰ ἐπιχειρήσαιμι ἐν τῷ σῷ οἴκῳ μανθάνειν οἰκονομεῖν, ἴσως ἂν καταλυμηναίμην ἄν σου τὸν οἶκον.

Πρὸς ταῦτα ὁ Κριτόβουλος εἶπε·

Κ. Προθύμως γε, ὦ Σώκρατες, ἀποφεύγειν μοι (37) πειρᾷ μηδέν με συνωφελῆσαι εἰς τὸ ῥᾷον ὑποφέρειν τὰ ἐμοὶ ἀναγκαῖα πράγματα.

Σ. Οὐ μὰ Δί', ἔφη ὁ Σωκράτης, οὐκ ἔγωγε (38), ἀλλ' ὅσα ἔχω καὶ πάνυ προθύμως ἐξηγήσομαί σοι. Οἶμαι δ' ἂν (39) καὶ εἰ, ἐπὶ πῦρ ἐλθόντος σου καὶ μὴ ὄντος (40) παρ' ἐμοί, ἄλλοσε ἡγησάμην ὁπόθεν σοι εἴη λαβεῖν, οὐκ ἂν ἐμέμφου μοι· καὶ εἰ, ὕδωρ παρ' ἐμοῦ αἰτοῦντί σοι αὐτὸς μὴ ἔχων (41), ἄλλοσε καὶ ἐπὶ τοῦτο (42) ἤγαγον, οἶδ' ὅτι οὐδ' ἂν τοῦτό μοι ἐμέμφου· καὶ εἰ, βουλομένου μουσικὴν μαθεῖν σου παρ' ἐμοῦ, δείξαιμί σοι πολὺ δεινοτέρους

---

33. Voyez le début même de l'*Économique*.
34. *Ὅπερ*. Voy. p. 245, note 8.
35. *Ὄργανα ὥστε μανθάνειν*, l'instrument *nécessaire* pour apprendre, c'est-à-dire de la fortune (*χρήματα*).
36. *Κιθαρίζειν . . . . λύρας*. La lyre et la cithare étaient deux instruments de la même famille, ne différant guère que par le nombre des cordes et la grandeur. *Κιθαρίζειν* est le terme ordinaire pour dire « jouer de la lyre, de la cithare ou tout autre instrument à cordes de la même famille. » *Λύρα*, d'autre part, est le mot générique pour désigner la lyre et ses congénères. D'où les expressions comme *λύρᾳ κιθαρίζειν*. « Ceux qui commencent à apprendre à *jouer des instruments à cordes*, *κιθαρίζειν*, les abîment (abîment leurs *lyres*, *λύρας*). »
37. *Μοι* explétif. — *Ἀποφεύγειν* (sous-ent. *ὥστε*) *μηδέν με συνωφελῆσαι*.
38. *Οὐκ ἔγωγε*: sous-ent. *ἀποφεύγειν πειρῶμαι*.
39. *Ἂν*, placé en tête de la phrase par anticipation, tombe sur les deux *ἐμέμφου* et sur *μέμφοιο*, auprès de chacun desquels, du reste, il est ensuite répété. Cf. p. 254, l. 13; p. 259, l. 12.
40. *Ὄντος*: sous-ent. *πυρός*.
41. *Αἰτοῦντί σοι* dépend de *ἔχων*, « n'en ayant pas *à donner* à toi qui m'en demanderais ».
42. *Ἐπὶ τοῦτο*, à l'eau, là où il y en a.

ἐμοῦ περὶ μουσικὴν καί σοι χάριν ἂν εἰδότας, εἰ ἐθέλοις παρ
αὐτῶν μανθάνειν, τί ἂν ἔτι μοι ταῦτα ποιοῦντι μέμφοιο;

Κ. Οὐδὲν ἂν δικαίως γε (43), *ὦ Σώκρατες.*

Σ. Ἐγὼ τοίνυν σοι δείξω, ὦ Κριτόβουλε, ὅσα νῦν λιπαρεῖ
παρ' ἐμοῦ μανθάνειν, πολὺ (44) *ἄλλους ἐμοῦ δεινοτέρους περ*
ταῦτα. Ὁμολογῶ δὲ μεμεληκέναι μοι οἵτινες ἕκαστα ἐπιστημονέ
στατοί εἰσι τῶν ἐν τῇ πόλει. Καταμαθὼν γάρ ποτε ἀπὸ τῶ
αὐτῶν ἔργων τοὺς μὲν πάνυ ἀπόρους ὄντας, τοὺς δὲ πάνυ πλου
σίους, ἀπεθαύμασα, καὶ ἔδοξέ μοι ἄξιον εἶναι ἐπισκέψεως ὅ τ
εἴη τοῦτο. Καὶ ηὗρον ἐπισκοπῶν πάνυ οἰκείως ταῦτα γιγνόμενα
Τοὺς μὲν γὰρ εἰκῇ ταῦτα (45) *πράττοντας ζημιουμένους ἑώρων*
τοὺς δὲ γνώμῃ συντεταμένῃ ἐπιμελουμένους καὶ θᾶττον καὶ ῥᾷο
καὶ κερδαλεώτερον κατέγνων πράττοντας· παρ' ὧν ἂν (46) *καὶ σ*
οἶμαι, εἰ βούλοιο, μαθόντα, εἴ σοι ὁ θεὸς μὴ ἐναντιοῖτο, πάν
ἂν δεινὸν χρηματιστὴν γενέσθαι.

CHAPITRE III.

Ἀκούσας ταῦτα ὁ Κριτόβουλος εἶπε·

Κ. Νῦν τοι, ἔφη, ἐγώ σε οὐκέτι ἀφήσω, ὦ Σώκρατες, πρὶν ἅ
μοι ἃ ὑπέσχησαι ἐναντίον τῶν φίλων τουτωνὶ (1) *ἀποδείξῃς.*

Σ. Τί οὖν, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, ἤν σοι ἐπιδεικνύ
πρῶτον μὲν οἰκίας τοὺς μὲν (2) *ἀπὸ πολλοῦ ἀργυρίου ἀχρήστου*
οἰκοδομοῦντας, τοὺς δὲ ἀπὸ πολὺ ἐλάττονος πάντα ἐχούσας ὅσ
δεῖ, ἦ δόξω ἕν τί σοι τοῦτο τῶν οἰκονομικῶν ἔργων ἐπιδει
κνύναι (3)*;*

Κ. Καὶ πάνυ γ', ἔφη ὁ Κριτόβουλος.

Σ. Τί δ' ἢν τὸ τούτου ἀκόλουθον μετὰ τοῦτό σοι ἐπιδεικνύω
τοὺς μὲν πάνυ πολλὰ καὶ παντοῖα κεκτημένους ἔπιπλα, καὶ του

---

43. *Οὐδὲν . . . . δικαίως γε* . sous-ent. *σοὶ μεμφοίμην.*
44. *Πολύ* tombe sur *δεινοτέρους.*
45. *Ταῦτα.* Entendez *ταῦτα τὰ ἔργα.*
46. Cf. page 253, note 39.

Ch. III] 1. *Τῶν φίλων τουτωνί.* Socrate ne converse pas en tête à tête ave
Critoboulos (cf. page 257, ligne 13). Il est entouré, comme il arrivait d'or
dinaire, d'un cortége de disciples, qui jouent, dans les dialogues socrat
ques le rôle de personnages muets. Xénophon est censé assister à la con
versation, puisque l'*Économique* débute ainsi : *Ἤκουσα δέ ποτε αὐτοῦ κτ.*

2. *Τοὺς μὲν . . . .* Construisez: *τοὺς μὲν οἰκοδομοῦντας ἀπὸ πολλοῦ ἀ*
γυρίου οἰκίας ἀχρήστους, τοὺς δὲ κτλ.

3. *Ἕν τί . . . . ἐπιδεικνύναι*, te montrer quelqu'une des choses (*ἕν τ*
dont se compose la science économique (*τῶν οἰκονομικῶν*), *en te montrar*
cela (*τοῦτο*). Cf. p. 255, l. 11 et 17.

τοις, ὅταν δέωνται, μὴ ἔχοντας χρῆσθαι μηδὲ εἰδότας εἰ σᾶ (4) ἐστιν αὐτοῖς, καὶ διὰ ταῦτα πολλὰ μὲν αὐτοὺς ἀνιωμένους, πολλὰ δὲ ἀνιῶντας τοὺς οἰκέτας· τοὺς δὲ οὐδὲν πλείω, ἀλλὰ καὶ μείονα τούτων κεκτημένους, ἔχοντας εὐθὺς ἕτοιμα, ὧν ἂν δέωνται, χρῆσθαι (5).

Κ. Ἄλλο τι οὖν τούτων ἐστίν, ὦ Σώκρατες, αἴτιον ἢ ὅτι τοῖς μὲν ὅποι ἔτυχεν ἕκαστον καταβέβληται, τοῖς δὲ ἐν χώρᾳ ἕκαστα τεταγμένη κεῖται;

Σ. Ναὶ μὰ Δί', ἔφη ὁ Σωκράτης· καὶ οὐδ' ἐν χώρᾳ γ' ἐν ᾗ ἔτυχεν, ἀλλ' ἔνθα προσήκει, ἕκαστα διατέτακται.

Κ. Λέγειν τί μοι δοκεῖς, ἔφη, καὶ τοῦτο, ὁ Κριτόβουλος, τῶν οἰκονομικῶν (6).

Σ. Τί οὖν, ἤν σοι, ἔφη, καὶ οἰκέτας αὖ ἐπιδεικνύω, ἔνθα μὲν πάντας ὡς εἰπεῖν δεδεμένους, καὶ τούτους θαμινὰ ἀποδιδράσκοντας, ἔνθα δὲ λελυμένους, καὶ ἐθέλοντάς τε ἐργάζεσθαι καὶ παραμένειν, οὐ καὶ τοῦτό σοι δόξω ἀξιοθέατον τῆς οἰκονομίας ἔργον ἐπιδεικνύναι;

Κ. Ναὶ μὰ Δί', ἔφη ὁ Κριτόβουλος, καὶ σφόδρα γε.

Σ. Ἢν δὲ καὶ παραπλησίους γεωργίας γεωργοῦντας, τοὺς μὲν ἀπολωλέναι φάσκοντας ὑπὸ γεωργίας καὶ ἀποροῦντας, τοὺς δὲ ἀφθόνως καὶ καλῶς πάντα ἔχοντας ὅσων δέονται ἀπὸ τῆς γεωργίας (7);

Κ. Ναὶ μὰ Δί', ἔφη ὁ Κριτόβουλος. Ἴσως γὰρ (8) ἀναλίσκουσιν οὐκ εἰς ἃ δεῖ μόνον, ἀλλὰ καὶ εἰς ἃ βλάβην φέρει αὐτοῖς καὶ τῷ οἴκῳ.

Σ. Εἰσὶ μέν τινες ἴσως, ἔφη ὁ Σωκράτης, καὶ τοιοῦτοι. Ἀλλ' (9) ἐγὼ οὐ τούτους λέγω, ἀλλ' οἳ οὐδ' εἰς τἀναγκαῖα ἔχουσι δαπανᾶν, γεωργεῖν φάσκοντες.

Κ. Καὶ τί ἂν εἴη τούτου αἴτιον, ὦ Σώκρατες;

---

4. Σᾶ paraît être la véritable forme employée par les Attiques comme neutre pluriel (nom. et acc.) de l'adjectif σῶς, *integer*. (Σῶς, σᾶ, contraction des formes inusitées σάος, σάα: le comparatif σαώτερος se trouve dans l'*Iliade*, chez Xénophon et chez Théocrite.) Les manuscrits donnent ici σῶα, forme de la langue grecque commune.

5. Χρῆσθαι dépend de ἕτοιμα: «prêts pour s'en servir.»

6. Λέγειν . . . . οἰκονομικῶν. Pour la construction, cf. p. 254, note 3.

7. Ἢν δὲ . . . . γεωργίας. «Et si *je te montre* des gens exploitant des cultures (γεωργοῦντας γεωργίας) pareilles, et, *parmi ceux-ci*, les uns . . ., les autres.» Cf., pour la tournure, p. 248, lignes 11-13.

8. Cf. la note 26 de la page 252.

9. Ἀλλά sert, au lieu de δέ, de corrélatif à μέν quand l'opposition doit être plus fortement marquée.

Σ. Ἐγώ σε ἄξω καὶ ἐπὶ τούτους, ἔφη ὁ Σωκράτης· σὺ δὲ θεώμενος δήπου καταμαθήσει [10].

Κ. Νὴ Δί', ἔφη, ἢ δύναμαί γε.

Σ. Οὐκοῦν χρὴ θεώμενον σαυτοῦ ἀποπειρᾶσθαι εἰ γνώσει [10]. Νῦν δ' ἐγώ σ' οἶδα ἐπὶ μὲν κωμῳδῶν θέαν καὶ πάνυ πρωὶ ἀνιστάμενον καὶ πάνυ μακρὰν ὁδὸν [11] βαδίζοντα καὶ ἐμὲ ἀναπείθοντα προθύμως συνθεᾶσθαι· ἐπὶ δὲ τοιοῦτον οὐδέν με πώποτε ἔργον παρεκάλεσας.

Κ. Οὐκοῦν γελοῖός σοι φαίνομαι εἶναι, ὦ Σώκρατες.

Σ. Σαυτῷ δὲ πολὺ νὴ Δί', ἔφη, γελοιότερος. Ἢν δὲ καὶ ἐφ' ἱππικῆς [12] σοι ἐπιδεικνύω τοὺς μὲν εἰς ἀπορίαν τῶν ἐπιτηδείων ἐληλυθότας, τοὺς δὲ καὶ [13] πάνυ εὐπόρους ὄντας καὶ ἅμα ἀγαλλομένους ἐπὶ τῷ κέρδει;

Κ. Οὐκοῦν [14] τούτους μὲν καὶ ἐγὼ καὶ οἶδα ἑκατέρους, καὶ οὐδέν τι [15] μᾶλλον τῶν κερδαινόντων γίγνομαι.

Σ. Θεᾷ γὰρ αὐτοὺς ᾗπερ τοὺς τραγῳδούς τε καὶ κωμῳδούς, οὐχ ὅπως ποιητὴς οἴμαι γένῃ, ἀλλ' ὅπως ἡσθῇς ἰδών τι ἢ ἀκούσας· καὶ ταῦτα μὲν ἴσως οὕτως ὀρθῶς ἔχει, οὐ γὰρ ποιητὴς βούλει γενέσθαι· ἱππικῇ δ' ἀναγκαζόμενος χρῆσθαι [16], οὐ μῶρος οἴει εἶναι, εἰ μὴ σκοπεῖς ὅπως μὴ ἰδιώτης ἔσει [17] τούτου τοῦ ἔργου, ἄλλως τε καὶ τῶν αὐτῶν ἵππων ἀγαθῶν τε εἰς τὴν χρῆσιν καὶ κερδαλέων εἰς πώλησιν ὄντων;

Κ. Πωλοδαμνεῖν με κελεύεις, ὦ Σώκρατες;

Σ. Οὐ μὰ Δί', οὐδέν τι μᾶλλον [18] ἢ καὶ γεωργοὺς ἐκ παιδίων ὠνούμενον κατασκευάζειν. ἀλλ' εἶναί τινές μοι δοκοῦσιν ἡλικίαι

---

10. Καταμαθήσει, γνώσει. Cf. la note 21 du Chap. VIII.

11. Πάνυ πρωὶ ... πάνυ μακρὰν ὁδόν. Critoboulos n'habitait pas dans Athènes même, [illegible] quel quartier de la ville, il n'y [illegible] pas [illegible]. Il devait avoir son domicile dans la campagne d'Athènes, au milieu de ses domaines.

12. [illegible] deux membres de phrase, [illegible] le régime également aux verbes de ces deux membres de phrase. [illegible] les manuscrits donnent: διὰ τὴν ἱππικήν, [illegible] nullement ajoutée par un lecteur.

13. [illegible] n'est pas corrélatif de καὶ qui précède [illegible]

14. [illegible] La phrase redevient affirmative à partir de [illegible]

15. [illegible] que je sois.

16. Cf. la note 14 de la page 251.

17. [illegible] page 2[illegible], note 17.

18. [illegible] οὐδέν τι. Cf. pour cette expression [illegible] κελεύω ἢ κατασκευάζειν [illegible]

καὶ ἵππων καὶ ἀνθρώπων, αἳ εὐθύς τε χρήσιμοί εἰσι καὶ ἐπὶ τὸ βέλτιον ἐπιδιδόασιν. — Ἔχω δ' ἐπιδεῖξαι καὶ γυναιξὶ ταῖς γαμεταῖς τοὺς μὲν οὕτω χρωμένους ὥστε συνεργοὺς ἔχειν αὐτὰς εἰς τὸ συναύξειν τοὺς οἴκους, τοὺς δὲ ᾗ πλεῖστα λυμαίνονται (19).

Κ. Καὶ τούτου πότερον χρή, ὦ Σώκρατες, τὸν ἄνδρα αἰτιᾶσθαι ἢ τὴν γυναῖκα;

Σ. Πρόβατον μέν, ἔφη ὁ Σωκράτης, ὡς ἐπὶ τὸ πολύ, ἢν κακῶς ἔχῃ, τὸν νομέα αἰτιώμεθα (20), καὶ ἵππος, ὡς ἐπὶ τὸ πολύ, ἢν κακουργῇ, τὸν ἱππέα κακίζομεν· τῆς δὲ γυναικὸς (21), εἰ μὲν διδασκομένη ὑπὸ τοῦ ἀνδρὸς τἀγαθὰ κακοποιεῖ, ἴσως δικαίως ἂν ἡ γυνὴ τὴν αἰτίαν ἔχοι· εἰ δὲ μὴ διδάσκων τὰ καλὰ κἀγαθὰ ἀνεπιστήμονι (22) τούτων χρῷτο, ἆρ' οὐ δικαίως ἂν ὁ ἀνὴρ τὴν αἰτίαν ἔχοι; Πάντως δεῖ, ἔφη, ὦ Κριτόβουλε, — φίλοι γάρ ἐσμεν οἱ παρόντες (23), ἀπαληθεῦσαι πρὸς ἡμᾶς. Ἔστιν ὅτῳ ἄλλῳ (24) τῶν σπουδαίων πλείω ἐπιτρέπεις ἢ τῇ γυναικί;

Κ. Οὐδενί, ἔφη.

Σ. Ἔστι δὲ ὅτῳ ἐλάττονα διαλέγει (25) ἢ τῇ γυναικί;

Κ. Εἰ δὲ μή (26), οὐ πολλοῖς γε, ἔφη.

Σ. Ἔγημας δὲ αὐτὴν παῖδα νέαν μάλιστα καὶ ὡς ἠδύνατο ἐλάχιστα (27) ἑωρακυῖαν καὶ ἀκηκουῖαν;

Κ. Μάλιστα.

Σ. Οὐκοῦν πολὺ θαυμαστότερον εἴ τι ὧν δεῖ λέγειν ἢ πράττειν ἐπίσταιτο ἢ εἰ (28) ἐξαμαρτάνοι.

Κ. Οἷς δὲ σὺ λέγεις ἀγαθὰς εἶναι γυναῖκας, ὦ Σώκρατες, ἦ αὐτοὶ ταύτας ἐπαίδευσαν;

Σ. Οὐδὲν οἷον τὸ (29) ἐπισκοπεῖσθαι. Συστήσω δέ σοι ἐγὼ

---

19. *Λυμαίνονται*. Le sujet de *λυμαίνονται* est *αἱ γυναῖκες* sous-entendu.

20. *Πρόβατον* .... Construisez: *Ἢν πρόβατον κακῶς ἔχῃ, αἰτιώμεθα ὡς ἐπὶ τὸ πολὺ τὸν νομέα.*

21. *Τῆς δὲ γυναικός*. Pour ce qui est de la femme.

22. *Διδάσκων* .... *ἀνεπιστήμονι*: s.-ent. *αὐτὴν* auprès de *διδάσκων*, et *αὐτῇ οὔσῃ* après *ἀνεπιστήμονι*.

23. Cf. la note Ch. III, 1, à la page 254.

24. *Ἔστιν ὅτῳ ἄλλῳ* équivaut à *ἔστιν ἄλλος τις ᾧ*.

25. *Ἐλάττονα*, forme attique pour *ἐλάσσονα*. — *Διαλέγει*. Cf. la note 5 de la page 28.

26. *Εἰ δὲ μή*, s'il n'*est* pas *vrai de dire qu'il n'y a personne à qui je parle moins qu'à ma femme*, — *οὐ πολλοῖς γε*, du moins est-ce à peu de monde (que je parle moins qu'à elle).

27. *Ὡς ἠδύνατο ἐλάχιστα*, le moins possible.

28. *Ἢ εἰ*, que si.

29. *Οὐδὲν οἷον τό*, il n'y a rien de tel que de. Locution qu'affectionnait sans doute Socrate, car elle est fréquemment mise dans sa bouche aussi bien par Platon que par Xénophon.

σοι Ἀσπασίαν [illegible] συστήσω, ἣ ἐπιστημονέστερον ἐμοῦ σοι ταῦτα πάντα ἐπιδείξει. Νομίζω δὲ γυναῖκα κοινωνὸν ἀγαθὴν οἴκου οὖσαν πάνυ ἀντίρροπον εἶναι τῷ ἀνδρὶ ἐπὶ τὸ ἀγαθόν. Ἔρχεται μὲν γὰρ εἰς τὴν οἰκίαν διὰ τῶν τοῦ ἀνδρὸς πράξεων τὰ κτήματα ὡς ἐπὶ τὸ πολύ, δαπανᾶται δὲ διὰ τῶν τῆς γυναικὸς ταμιευμάτων τὰ πλεῖστα· καὶ εὖ μὲν τούτων γιγνομένων αὔξονται οἱ οἶκοι, κακῶς δέ, μειοῦνται (30). Οἶμαι δὲ καὶ τῶν ἄλλων ἐπιστημῶν τοὺς ἀξίως λόγου ἑκάστην ἐργαζομένους ἔχειν ἄν ἐπιδεῖξαί σοι (31), εἴ τι προσδεῖσθαι νομίζεις.

CHAPITRE IV.

Κ. Ἀλλὰ πάσας μὲν [illegible] οὐ δεῖ ἐπιδείκνυσθαι, ὦ Σώκρατες, ἔφη ὁ Κριτόβουλος· οὔτε γὰρ [illegible] πασῶν τῶν τεχνῶν ἐργάτας ῥᾴδιον [illegible] δεῖ, οὔτε ἔμπειρον γενέσθαι αὐτῶν (1) οἷόν τε, ἀλλ' αἳ δοκοῦσι καλλίσται τῶν ἐπιστημῶν καὶ ἐμοὶ πρέποι ἂν μάλιστα ἐπιμελομένῳ (2), ταύτας μοι καὶ αὐτὰς ἐπιδείκνυε καὶ τοὺς πράττοντας αὐτάς, καὶ αὐτὸς δὲ ὅ τι δύνασαι συνωφέλει (3) εἰς ταῦτα διδάσκων.

Σ. Ἀλλὰ καλῶς, ἔφη, λέγεις, ὦ Κριτόβουλε. Καὶ γὰρ αἵ γε βαναυσικαὶ καλούμεναι (4) καὶ ἐπίρρητοί εἰσι, καὶ εἰκότως μέντοι πάνυ ἀδοξοῦνται πρὸς τῶν πόλεων. Καταλυμαίνονται γὰρ τὰ σώματα τῶν τε ἐργαζομένων καὶ τῶν ἐπιμελομένων, ἀναγκάζουσαι καθῆσθαι καὶ σκιατραφεῖσθαι, ἔνιαι δὲ καὶ πρὸς πῦρ ἡμερεύειν· τῶν δὲ σωμάτων θηλυνομένων καὶ αἱ ψυχαὶ πολὺ ἀρρωστότεραι γίγνονται· καὶ ἀσχολίας δὲ μάλιστα ἔχουσι (5) καὶ φίλων καὶ πόλεως συνεπιμελεῖσθαι· ὥστε οἱ τοιοῦτοι (6) δοκοῦσι κακοὶ καὶ φίλοις χρῆσθαι (7) καὶ ταῖς πατρίσιν ἀλεξητῆρες εἶναι. Καὶ

---

30. *Τούτων . . . . μειοῦνται*: c'est-à-dire *κακῶς δὲ τούτων γιγνομένων* (ou *πραττομένων*) *οἱ οἶκοι μειοῦνται*.

31. *Σοι*, exprimé une première fois en tête de la phrase, se trouve répété à la fin.

Ch. VI] 1. *Αὐτὸν*, soi-même.

2. *Ἐπιμελομένῳ*, sous-ent. *αὐτῶν*. C'est comme s'il y avait *αἳ δοκοῦσι . . . . καὶ ὧν ἐμοὶ πρέποι ἂν . . . ἐπιμελομένῳ*, mais cette dernière tournure n'est pas usitée en grec.

3. *Συνωφέλει*, sous-entendu *με*.

4. Sous-ent. *τέχναι*.

5. Le sujet de *ἔχουσι*, c'est *αἱ βαναυσικαὶ καλούμεναι τέχναι*, sous-entendu.

6. *Οἱ τοιοῦτοι*, ce sont ceux qui exercent les arts mécaniques.

7. *Κακοὶ χρῆσθαι*, mauvais à s'en servir (cf. la note 5 de la page 255).

ἐν ἐνίαις μὲν τῶν πόλεων (8), μάλιστα δὲ ἐν ταῖς εὐπολέμοις δοκούσαις εἶναι, οὐδ' ἔξεστι τῶν πολιτῶν οὐδενὶ βαναυσικὰς τέχνας ἐργάζεσθαι.

Κ. Ἡμῖν δὲ δὴ ποίαις συμβουλεύεις, ὦ Σώκρατες, χρῆσθαι;

Σ. Ἆρα, ἔφη ὁ Σωκράτης, μὴ αἰσχυνθῶμεν τὸν Περσῶν βασιλέα μιμήσασθαι; Ἐκεῖνον γάρ φασιν, ἐν τοῖς καλλίστοις τε καὶ ἀναγκαιοτάτοις ἡγούμενον εἶναι ἐπιμελήμασι γεωργίαν τε καὶ τὴν πολεμικὴν τέχνην, τούτων ἀμφοτέρων ἰσχυρῶς ἐπιμελεῖσθαι.

Καὶ ὁ Κριτόβουλος ἀκούσας ταῦτα εἶπε.

Κ. Καὶ τοῦτο, ἔφη, πιστεύεις, ὦ Σώκρατες, βασιλέα τὸν Περσῶν γεωργίας τι συνεπιμελεῖσθαι;

Σ. Ὧδ' ἄν, ἔφη ὁ Σωκράτης, ἐπισκοποῦντες, ὦ Κριτόβουλε, ἴσως ἂν καταμάθοιμεν εἴ τι συνεπιμελεῖται. Τῶν μὲν γὰρ πολεμικῶν ἔργων ὁμολογοῦμεν αὐτὸν ἰσχυρῶς ἐπιμελεῖσθαι, ὅτι ἐξ ὁποσωνπερ ἐθνῶν δασμοὺς λαμβάνει τέταχε τῷ ἄρχοντι (9) ἑκάστῳ εἰς ὁπόσους δεῖ διδόναι τροφὴν ἱππέας καὶ τοξότας καὶ σφενδονήτας καὶ γερροφόρους (10), οἵτινες τῶν τε ὑπ' αὐτοῦ ἀρχομένων ἱκανοὶ ἔσονται κρατεῖν καί, ἢν πολέμιοι ἐπίωσιν, ἀρήξουσι τῇ χώρᾳ, χωρὶς δὲ τούτων φυλακὰς (11) ἐν ταῖς ἀκροπόλεσι τρέφει· καὶ τὴν μὲν τροφὴν τοῖς φρουροῖς (11) δίδωσιν ὁ ἄρχων ᾧ τοῦτο προστέτακται· βασιλεὺς δὲ κατ' ἐνιαυτὸν ἐξέτασιν ποιεῖται τῶν μισθοφόρων καὶ τῶν ἄλλων οἷς ὡπλίσθαι προστέτακται, καὶ πάντας ἅμα συνάγων, πλὴν τοὺς ἐν ταῖς ἀκροπόλεσιν, ἔνθα δὴ ὁ σύλλογος καλεῖται, τοὺς μὲν ἀμφὶ τὴν ἑαυτοῦ οἴκησιν αὐτὸς ἐφορᾷ, τοὺς δὲ πρόσω ἀποικοῦντας πιστοὺς πέμπει ἐπισκοπεῖν (12)· καὶ οἳ μὲν ἂν φαίνωνται τῶν φρουράρχων καὶ τῶν χιλιάρχων (13) καὶ τῶν σατραπῶν (14) τὸν ἀριθμὸν τὸν τεταγμένον ἔκπλεων ἔχοντες,

---

d'un mauvais commerce. — En somme, Κακοὶ . . . . ἀλεξητῆρες : « Pour leurs amis, mauvais amis ; pour leur patrie, mauvais soutiens. »

8. Par exemple, à Sparte.

9. Ἄρχοντι, le gouverneur civil de la province.

10. Γέρρον, sorte de bouclier d'osier que portaient spécialement certains corps de l'armée perse.

11. Φυλακή, garnison d'une place ; φρουροί, soldats composant cette garnison ; φρούραρχος, leur commandant et le chef d'une circonscription militaire.

12. Πέμπει ἐπισκοπεῖν, il envoie inspecter. Construction rare, mais dont il existe quelques exemples chez Xénophon. Quelques lignes plus bas (p. 260, l. 8), la même idée est exprimée par la tournure πέμπων ἐπισκοπεῖται, qui est conforme à l'usage courant.

13. Χιλίαρχος, commandant de mille hommes, *colonel*.

14. Σατράπης. Satrape, sorte de vice-roi, exerçant le pouvoir pour le compte du roi, sur une grande division territoriale, ayant sous ses ordres

καὶ τούτους(15) *δοκίμοις ἵπποις τε καὶ ὅπλοις κατεσκευασμένους παρέχωσι. τούτους μὲν καὶ ταῖς τιμαῖς αὔξει* (16) *καὶ δώροις μεγάλοις καταπλουτίζει, οὓς δ' ἂν εὕρῃ ἢ καταμελοῦντας ἢ κατακερδαίνοντας, τούτους χαλεπῶς κολάζει καὶ παύων τῆς ἀρχῆς ἄλλους ἐπιμελητὰς καθίστησι. Τῶν μὲν δὴ πολεμικῶν ἔργων ταῦτα ποιῶν δοκεῖ ἡμῖν ἀναμφιλόγως ἐπιμελεῖσθαι. Ἔτι δὲ ὁπόσην μὲν τῆς χώρας*(17) *διελαύνων ἐφορᾷ αὐτὸς, αὐτὸς καὶ δοκιμάζει, ὁπόσην δὲ μὴ αὐτὸς ἐφορᾷ, πέμπων πιστοὺς ἐπισκοπεῖται· καὶ οὓς μὲν ἂν αἰσθάνηται τῶν ἀρχόντων συνοικουμένην τε τὴν χώραν παρεχομένους καὶ ἐνεργὸν οὖσαν τὴν γῆν καὶ πλήρη δένδρων τε ὧν ἑκάστη φέρει καὶ καρπῶν, τούτοις μὲν χώραν τε ἄλλην προστίθησι καὶ δώροις κοσμεῖ*(18) *καὶ ἕδραις ἐντίμοις*(19) *γεραίρει, οἷς δ' ἂν ὁρᾷ ἀργόν τε τὴν χώραν οὖσαν καὶ ὀλιγάνθρωπον ἢ διὰ χαλεπότητα ἢ δι' ὕβριν ἢ δι' ἀμέλειαν, τούτους δὲ* (20) *κολάζων καὶ παύων τῆς ἀρχῆς ἄρχοντας ἄλλους καθίστησι. Ταῦτα ποιῶν δοκεῖ ἧττον ἐπιμελεῖσθαι ὅπως ἡ γῆ ἐνεργὸς ἔσται ὑπὸ τῶν κατοικούντων ἢ ὅπως εὖ φυλάξεται ὑπὸ τῶν φρουρούντων; Καὶ εἰσὶ δ' αὐτῷ οἱ ἄρχοντες διατεταγμένοι ἐφ' ἑκάτερον οὐχ οἱ αὐτοί, ἀλλ' οἱ μὲν ἄρχουσι τῶν κατοικούντων τε καὶ τῶν ἐργατῶν, καὶ δασμοὺς ἐκ τούτων ἐκλέγουσιν, οἱ δ' ἄρχουσι τῶν ὡπλισμένων τε καὶ τῶν φρουρῶν*(21). *Κἂν μὲν ὁ φρούραρχος μὴ ἱκανῶς τῇ χώρᾳ ἀρήγῃ, ὁ τῶν ἐνοικούντων ἄρχων καὶ τῶν ἔργων ἐπιμελόμενος κατηγορεῖ τοῦ φρουράρχου, ὅτι οὐ δύνανται ἐργάζεσθαι διὰ τὴν ἀφυλαξίαν, ἢν δὲ, παρέχοντος τοῦ φρουράρχου εἰρήνην τοῖς ἔργοις, ὁ ἄρχων ὀλιγάνθρωπόν τε παρέχηται καὶ ἀργὸν τὴν χώραν, τούτου αὖ κατηγορεῖ ὁ φρούραρχος· καὶ γὰρ σχεδόν τι οἱ κακῶς τὴν χώραν ἐργαζόμενοι οὔτε τοὺς φρουροὺς τρέφουσιν οὔτε τοὺς δα-*

---

les gouverneurs militaires (*φρουράρχους*), aussi bien que les gouverneurs civils (*ἄρχοντας*).

15. *Ἀριθμόν*, le nombre *d'hommes*; *τούτους*, ces hommes.

16. *Τούτους . . . . αὔξει.* « Il les avance en honneurs. » *Αἱ τιμαί*, avec l'article, parce qu'il y avait une hiérarchie des honneurs.

17. *Ὁπόσην τῆς χώρας* équivaut à *ὁπόσην χώραν*.

18. *Κοσμεῖ*, sous-ent. *αὐτούς*.

19. *Ἕδραις ἐντίμοις*, places d'honneur (par exemple, dans les banquets royaux).

20. *Οὓς μὲν . . ., τούτοις μὲν . . ., οἷς δὲ . . ., τούτους δὲ . . .* Remarquez la structure de cette longue phrase (cf. p. 280, note 12).

21. *Τῶν ὡπλισμένων . . . . . φρουρῶν.* *Οἱ ὡπλισμένοι* équivant à *οἱ μισθοφόροι καὶ οἱ ἄλλοι οἷς ὡπλίσθαι προστέτακται* (cf. page 259, ligne 22); *οἱ φρουροί*, les garnisons sédentaires, qui ne prennent pas part aux revues, les mêmes que *οἱ ἐν ταῖς ἀκροπόλεσι* (*ibid.*, *ligne* 23).

σμοὺς δύνανται ἀποδιδόναι. Ὅπου δ' ἂν σατράπης καθιστῆται, οὗτος ἀμφοτέρων τούτων ἐπιμελεῖται.

Ἐκ τούτων (22) ὁ Κριτόβουλος εἶπεν·

Κ. Οὐκοῦν εἰ μὲν δὴ ταῦτα ποιεῖ βασιλεύς, ὦ Σώκρατες, οὐδὲν ἔμοιγε δοκεῖ ἧττον τῶν γεωργικῶν ἔργων ἐπιμελεῖσθαι ἢ τῶν πολεμικῶν.

Σ. Ἔτι δὲ πρὸς τούτοις, ἔφη ὁ Σωκράτης, ἐν ὁπόσαις τε χώραις ἐνοικεῖ καὶ εἰς ὁπόσας ἐπιστρέφεται, ἐπιμελεῖταί τε τούτων ὅπως κῆποι ἔσονται, οἱ παράδεισοι (23) καλούμενοι, πάντων καλῶν τε κἀγαθῶν μεστοὶ ὅσα ἡ γῆ φύειν θέλει, καὶ ἐν τούτοις αὐτὸς τὰ πλεῖστα διατρίβει, ὅταν μὴ ἡ ὥρα τοῦ ἔτους ἐξείργῃ.

Κ. Νὴ Δί', ἔφη ὁ Κριτόβουλος, ἀνάγκη τοίνυν, ὦ Σώκρατες, ἔνθα γε διατρίβει αὐτός, καὶ ὅπως ὡς κάλλιστα κατεσκευασμένοι ἔσονται οἱ παράδεισοι ἐπιμελεῖσθαι (24) δένδρεσι καὶ τοῖς ἄλλοις ἅπασι καλοῖς ὅσα ἡ γῆ φύει.

Σ. Φασὶ δέ τινες, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, καὶ ὅταν δῶρα διδῷ βασιλεύς, πρῶτον μὲν εἰσκαλεῖν τοὺς ἐν πολέμῳ ἀγαθοὺς γεγονότας, ὅτι οὐδὲν ὄφελος (25) πολλὰ ἀροῦν, εἰ μὴ εἶεν οἱ ἀρήξοντες (26)· δεύτερον δὲ τοὺς κατασκευάζοντας τὰς χώρας (27) ἄριστα καὶ ἐνεργοὺς ποιοῦντας, λέγοντα ὅτι οὐδ' ἂν οἱ ἄλκιμοι δύναιντο ζῆν, εἰ μὴ εἶεν οἱ ἐργαζόμενοι. Λέγεται δὲ καὶ Κῦρός (28) ποτε, ὅσπερ εὐδοκιμώτατος δὴ βασιλεὺς γεγένηται, εἰπεῖν τοῖς ἐπὶ τὰ δῶρα κεκλημένοις ὅτι αὐτὸς ἂν δικαίως τὰ ἀμφοτέρων δῶρα λαμβάνοι· κατασκευάζειν τε γὰρ ἄριστος εἶναι ἔφη χώραν καὶ ἀρήγειν τοῖς κατεσκευασμένοις.

Κ. Κῦρος μὲν τοίνυν, ἔφη ὁ Κριτόβουλος, ὦ Σώκρατες, καὶ ἐπηγάλλετο οὐδὲν ἧττον, εἰ ταῦτα ἔλεγεν, ἐπὶ τῷ χώρας ἐνεργοὺς ποιεῖν καὶ κατασκευάζειν ἢ ἐπὶ τῷ πολεμικὸς εἶναι.

Σ. Καί, ναὶ μὰ Δί', ἔφη ὁ Σωκράτης, Κῦρός γε, εἰ ἐβίω (29),

---

22. Cf. la note Ch. II, 1, à la page 249.

23. Παράδεισοι. C'est, avec une terminaison grecque, le mot perse qui servait à désigner ces jardins.

24. Ἀνάγκη . . . . ἐπιμελεῖσθαι. « Il est nécessaire qu'*on* s'occupe, que *les personnes que cela regarde* s'occupent . . . » Le sujet de l'infinitif ἐπιμελεῖσθαι n'est pas exprimé. Cf. p. 263, l. 17. — Δένδρεσι dépend de κατεσκευασμένοι.

25. Ὄφελος, sous-ent. ἂν εἴη.

26. Οἱ ἀρήξοντες, ceux qui défendront, c.-à-d. des gens pour les défendre.

27. Κατασκευάζειν χώραν, cultiver une terre, la faire valoir.

28. Κῦρος. Il s'agit ici de Cyrus l'*Ancien*, le fondateur de la monarchie perse.

29. Ἐβίω. L'aoriste ἐβίων est le seule forme attique: ἐβίωσα appartient

ἄριστος ἂν δοκεῖ ἄρχων γενέσθαι, καὶ τούτου τεκμήρια ἄλλα τε πολλὰ παρέσχηται καὶ ὁπότε περὶ τῆς βασιλείας τῷ ἀδελφῷ ἐπορεύετο μαχούμενος· παρὰ μὲν γὰρ Κύρου οὐδεὶς λέγεται αὐτομολῆσαι πρὸς βασιλέα, παρὰ δὲ βασιλέως πολλαὶ μυριάδες πρὸς Κῦρον. Ἐγὼ δὲ καὶ τοῦτο ἡγοῦμαι μέγα τεκμήριον ἄρχοντος ἀρετῆς εἶναι, ᾧ ἂν (30) ἑκόντες πείθωνται καὶ ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν. Ἐκείνῳ δὲ οἱ φίλοι ζῶντί τε συνεμάχοντο καὶ ἀποθανόντι συναπέθανον πάντες περὶ τὸν νεκρὸν μαχόμενοι (31). Οὗτος τοίνυν ὁ Κῦρος λέγεται Λυσάνδρῳ (32), ὅτε ἦλθεν ἄγων αὐτῷ τὰ παρὰ τῶν συμμάχων δῶρα, ἄλλα τε φιλοφρονεῖσθαι, ὡς αὐτὸς ἔφη ὁ Λύσανδρος ξένῳ ποτέ τινι ἐν Μεγάροις διηγούμενος, καὶ τὸν ἐν Σάρδεσι παράδεισον ἐπιδεικνύναι αὐτὸν (33) ἔφη. Ἐπεὶ δὲ ἐθαύμαζεν αὐτὸν (34) ὁ Λύσανδρος, ὡς καλὰ μὲν τὰ δένδρα εἴη, δι' ἴσου (35) δὲ πεφυτευμένα, ὀρθοὶ δὲ οἱ στίχοι τῶν δένδρων, εὐγώνια δὲ πάντα καλῶς εἴη, ὀσμαὶ δὲ πολλαὶ καὶ ἡδεῖαι συμπαρομαρτοῖεν αὐτοῖς περιπατοῦσι, καὶ ταῦτα θαυμάζων εἶπεν· «Ἀλλ' ἐγώ τοι, ὦ Κῦρε, πάντα μὲν ταῦτα θαυμάζω ἐπὶ τῷ κάλλει, πολὺ δὲ μᾶλλον ἄγαμαι τοῦ καταμετρήσαντός σοι καὶ διατάξαντος ἕκαστα τούτων.» Ἀκούσαντα δὲ ταῦτα τὸν Κῦρον ἡσθῆναί τε καὶ εἰπεῖν· «Ταῦτα τοίνυν, ὦ Λύσανδρε, ἐγὼ πάντα καὶ διεμέτρησα καὶ διέταξα, ἔστι δ' αὐτῶν» φάναι «ἃ (36) καὶ ἐφύτευσα αὐτός.» Καὶ ὁ Λύσανδρος ἔφη, ἀποβλέψας εἰς αὐτὸν καὶ ἰδὼν τῶν τε ἱματίων τὸ κάλλος ὧν εἶχε καὶ τῆς ὀσμῆς αἰσθόμενος καὶ τῶν στρεπτῶν καὶ τῶν ψελίων καὶ τοῦ ἄλλου κόσμου οὗ εἶχεν, εἰπεῖν· «Τί λέγεις,» φάναι «ὦ Κῦρε; Ἦ γὰρ σὺ ταῖς σαῖς χερσὶ τούτων τι ἐφύτευσας;» Καὶ τὸν Κῦρον ἀποκρί-

---

à la langue commune. — Il s'est probablement perdu ici quelque mot du texte (*Κῦρος ὁ νεώτερος*, ou *ὁ Δαρείου*), qui exprimait que c'est de Cyrus *le Jeune* (tué à la bataille de Cunaxa, en 401) qu'il est maintenant question.

30. *Ὧ ἂν* équivaut à *ἐάν τινι*.

31. Un lecteur ancien ajouta ici à la marge de son livre la rectification suivante, puisée dans l'*Anabase* de Xénophon: *πλὴν Ἀριαίου· Ἀριαῖος δ' ἔτυχεν ἐπὶ τῷ εὐωνύμῳ κέρατι τεταγμένος*. Cette annotation passa dans le texte des autres manuscrits de Xénophon et de là dans celui de la plupart des éditions de l'*Économique*.

32. *Λυσάνδρῳ*. Cette ambassade de Lysandre auprès de Cyrus remonte à l'an 407 avant Jésus-Christ.

33. *Ἐπιδεικνύναι*, sous-ent. *αὐτῷ*, à lui Lysandre. — *Αὐτόν*, Cyrus lui-même.

34. *Αὐτόν* c'est-à-dire *τὸν παράδεισον*. Plus loin, sous-ent. *αὐτοῦ* auprès de *τὰ δένδρα*.

35. *Δι' ἴσου*, à intervalles égaux.

36. *Ἔστι δ' αὐτῶν ἃ* équivaut à *ἔνια δ' αὐτῶν*.

νασθαι· « Θαυμάζεις τοῦτο, ὦ Λύσανδρε; Ὄμνυμί σοι τὸν Μίθρην, ὅτανπερ ὑγιαίνω, μηπώποτε δειπνῆσαι πρὶν ἱδρῶσαι ἢ τῶν πολεμικῶν τι ἢ τῶν γεωργικῶν ἔργων μελετῶν ἢ ἀεὶ ἕν γέ τι φιλοτιμούμενος.» Καὶ αὐτὸς μέντοι ἔφη ὁ Λύσανδρος ἀκούσας ταῦτα δεξιώσασθαί τε αὐτὸν καὶ εἰπεῖν· « Δικαίως μοι δοκεῖς, ὦ Κῦρε, εὐδαίμων εἶναι· ἀγαθὸς γὰρ ὢν ἀνὴρ εὐδαιμονεῖς (87).»

CHAPITRE V.

Σ. Ταῦτα δέ, ὦ Κριτόβουλε, ἐγὼ διηγοῦμαι, ἔφη ὁ Σωκράτης, ὅτι τῆς γεωργίας οὐδ' οἱ πάνυ μακάριοι δύνανται ἀπέχεσθαι. Ἔοικε γὰρ ἡ ἐπιμέλεια αὐτῆς εἶναι ἅμα τε ἡδυπάθειά τις καὶ οἴκου αὔξησις καὶ σωμάτων ἄσκησις εἰς τὸ δύνασθαι ὅσα ἀνδρὶ ἐλευθέρῳ προσήκει. Πρῶτον μὲν γὰρ ἀφ' ὧν ζῶσιν οἱ ἄνθρωποι, ταῦτα ἡ γῆ φέρει ἐργαζομένοις, καὶ ἀφ' ὧν τοίνυν ἡδυπαθοῦσι, προσεπιφέρει· ἔπειτα δὲ ὅσοις κοσμοῦσι βωμοὺς καὶ ἀγάλματα καὶ οἷς αὐτοὶ κοσμοῦνται, καὶ ταῦτα μετὰ ἡδίστων ὀσμῶν καὶ θεαμάτων παρέχει· ἔπειτα δὲ ὄψα πολλὰ τὰ μὲν φύει, τὰ δὲ τρέφει· καὶ γὰρ ἡ προβατευτικὴ τέχνη συνῆπται τῇ γεωργίᾳ, ὥστε ἔχειν (1) καὶ θεοὺς ἐξαρέσκεσθαι θύοντας καὶ αὐτοὺς χρῆσθαι. Παρέχουσα δ' ἀφθονώτατα τἀγαθά, οὐκ ἐᾷ ταῦτα μετὰ μαλακίας λαμβάνειν, ἀλλὰ ψύχη τε χειμῶνος καὶ θάλπη θέρους ἐθίζει καρτερεῖν. Καὶ τοὺς μὲν αὐτουργοὺς διὰ τῶν χειρῶν γυμνάζουσα ἰσχὺν αὐτοῖς προστίθησι, τοὺς δὲ τῇ ἐπιμελείᾳ γεωργοῦντας ἀνδρίζει πρωί τε ἐγείρουσα καὶ πορεύεσθαι σφοδρῶς ἀναγκάζουσα· καὶ γὰρ ἐν τῷ χώρῳ καὶ ἐν τῷ ἄστει ἀεὶ ἐν ὥρᾳ αἱ ἐπικαιριώταται πράξεις εἰσίν. Ἔπειτα ἤν τε σὺν ἵππῳ ἀρήγειν τις τῇ πόλει (2) βούληται, τὸν ἵππον ἱκανωτάτη ἡ γεωργία συντρέφειν, ἤν τε πεζῇ, σφοδρὸν τὸ σῶμα παρέχει· θήραις τε ἐπιφιλοπονεῖσθαι συνεπαίρει τι ἡ γῆ, καὶ κυσὶν εὐπέτειαν τροφῆς παρέχουσα καὶ θηρία συμπαρατρέφουσα (3). Ὠφελούμενοι δὲ καὶ οἱ ἵπποι καὶ αἱ κύνες ἀπὸ τῆς γεωργίας ἀντωφελοῦσι τὸν χῶρον, ὁ μὲν ἵππος πρωί τε κο-

---

36. *Δικαίως . . . . εὐδαιμονεῖς.* Cicéron, qui a inséré dans son dialogue *sur la Vieillesse* cette anecdote sur Cyrus, traduit ainsi cette dernière phrase: «Recte vero te, Cyre, beatum ferunt, quoniam virtuti tuæ fortuna conjuncta est.»

Ch. V] 1. Le sujet de l'infinitif *ἔχειν*, c'est *γεωργούς*, sous-ent., mot auquel se rapportent *θύοντας* et *αὐτούς*.

2. *Σὺν ἵππῳ . . . . τῇ πόλει*: c'est-à-dire servir l'État dans la cavalerie.

3. *Συμπαρατρέφουσα.* *Σύν*, et *παρατρέφειν*, nourrir des parasites.

μίζων τὸν κηδόμενον εἰς τὴν ἐπιμέλειαν καὶ ἐξουσίαν παρέχων ὀψὲ ἀπιέναι, αἱ δὲ κύνες τά τε θηρία ἀπερύκουσαι ἀπὸ λύμης καρπῶν καὶ προβάτων καὶ τῇ ἐρημίᾳ τὴν ἀσφάλειαν συμπαρέχουσαι. Παρορμᾷ δέ τι καὶ εἰς τὸ ἀρήγειν σὺν ὅπλοις τῇ χώρᾳ καὶ (4) ἡ γῆ τοὺς γεωργούς, ἐν τῷ μέσῳ τοὺς καρποὺς τρέφουσα τῷ κρατοῦντι λαμβάνειν (5). Καὶ δραμεῖν δὲ καὶ βαλεῖν καὶ πηδῆσαι τίς ἱκανωτέρους τέχνη γεωργίας παρέχεται; Τίς (6) δὲ τοῖς ἐργαζομένοις πλείω ἀντιχαρίζεται; Τίς δὲ ἥδιον τὸν ἐπιμελόμενον δέχεται, προτείνουσα προσιόντι λαβεῖν ὅ τι χρῄζει; Τίς δὲ ξένους ἀφθονώτερον δέχεται; Χειμάσαι δὲ πυρὶ ἀφθόνῳ καὶ θερμοῖς λουτροῖς ποῦ πλείων εὐμάρεια ἢ ἐν χώρῳ; Ποῦ δὲ ἥδιον θερίσαι ὕδασί τε καὶ πνεύμασι καὶ σκιαῖς ἢ κατ' ἀγρον; Τίς δὲ ἄλλη θεοῖς ἀπαρχὰς πρεπωδεστέρας παρέχει ἢ ἑορτὰς πληρεστέρας ἀποδεικνύει; Τίς δὲ οἰκέταις προσφιλεστέρα ἢ γυναικὶ ἡδίων ἢ τέκνοις ποθεινοτέρα ἢ φίλοις εὐχαριστωτέρα; Ἐμοὶ μὲν θαυμαστὸν δοκεῖ εἶναι εἴ τις ἐλεύθερος ἄνθρωπος ἢ κτῆμά τι τούτου ἥδιον κέκτηται, ἢ ἐπιμέλειαν ἡδίω τινὰ ταύτης ηὕρηκεν ἢ ὠφελιμωτέραν εἰς τὸν βίον. Ἔτι δὲ ἡ γῆ, θεὸς οὖσα, τοὺς δυναμένους καταμανθάνειν καὶ δικαιοσύνην διδάσκει· τοὺς γὰρ ἄριστα θεραπεύοντας (7) αὐτὴν πλεῖστα ἀγαθὰ ἀντιποιεῖ. Ἐὰν δ' ἄρα καὶ ὑπὸ πλήθους ποτὲ στρατευμάτων τῶν ἔργων στερηθῶσιν οἱ ἐν τῇ γεωργίᾳ ἀναστρεφόμενοι καὶ σφοδρῶς καὶ ἀνδρικῶς παιδευόμενοι, οὗτοι εὖ παρεσκευασμένοι καὶ τὰς ψυχὰς καὶ τὰ σώματα, ἢν μὴ θεὸς ἀποκωλύῃ, δύνανται ἰόντες εἰς τὰς τῶν ἀποκωλυόντων (8) λαμβάνειν ἀφ' ὧν θρέψονται (9). Πολλάκις δ' ἐν τῷ πολέμῳ καὶ ἀσφαλεστερόν ἐστι σὺν τοῖς ὅπλοις τὴν τροφὴν μαστεύειν ἢ σὺν τοῖς γεωργικοῖς ὀργάνοις. Συμπαιδεύει δὲ καὶ εἰς τὸ ἄρχειν ἄλλων ἡ γεωργία· ἐπί τε γὰρ τοὺς πολεμίους σὺν ἀνθρώποις δεῖ ἰέναι, τῆς τε γῆς σὺν ἀνθρώποις ἐστὶν ἡ ἐργασία.

---

4. *Καὶ . . . καὶ.* La répétition de *καὶ* provient de la construction insolite de la phrase; l'ordre naturel des mots était: *παρορμᾷ δέ τι καὶ ἡ γῆ τοὺς γεωργοὺς εἰς τὸ ἀρήγειν κτλ.*

5. *Ἐν τῷ . . . . λαμβάνειν.* Constr.: *τρέφουσα τ. καρπ. ἐν τῷ μέσῳ λαμβ. τῷ κρατοῦντι*, c.-à-d. poussant ses fruits en pleine campagne, à prendre, pour celui qui s'en rend le maître. L'idée exprimée par les mots *ἐν τῷ μέσῳ* est rendue de nouveau plus bas par *ἔξω τῶν ἐρυμάτων* (p. 267, l. 7), «en dehors des fortifications des villes.»

6. *Τίς*, sous-ent. *τέχνη*.

7. *Θεραπεύειν*, venant après *ἡ γῆ θεὸς οὖσα*, fait un jeu de mots: c'est à la fois le terme propre pour dire *honorer les dieux* et *cultiver la terre*.

8. *Εἰς τὰς τῶν ἀποκωλυόντων*, sous-ent. *χώρας*.

9. *Ἀφ' ὧν θρέψονται*, de quoi se nourrir; mot à mot: de quoi ils se nourriront. Cf. la note 26 de la page 261.

Τὸν οὖν μέλλοντα εὖ γεωργήσειν δεῖ τοὺς ἐργαστῆρας καὶ προθύμους παρασκευάζειν καὶ πείθεσθαι θέλοντας· τὸν δὲ ἐπὶ πολεμίους ἄγοντα ταὐτὰ δεῖ μηχανᾶσθαι δωρούμενόν τε τοῖς ποιοῦσιν ἃ δεῖ ποιεῖν τοὺς ἀγαθοὺς (10) καὶ κολάζοντα τοὺς ἀτακτοῦντας· καὶ παρακελεύεσθαι δὲ πολλάκις οὐδὲν ἧττον δεῖ τοῖς ἐργάταις τὸν γεωργὸν ἢ τὸν στρατηγὸν τοῖς στρατιώταις· καὶ ἐλπίδων δὲ ἀγαθῶν οὐδὲν ἧττον οἱ δοῦλοι τῶν ἐλευθέρων δέονται, ἀλλὰ καὶ μᾶλλον, ὅπως μένειν ἐθέλωσι. Καλῶς δὲ κἀκεῖνος εἶπεν ὃς ἔφη τὴν γεωργίαν τῶν ἄλλων τεχνῶν μητέρα καὶ τροφὸν εἶναι. Εὖ μὲν γὰρ φερομένης τῆς γεωργίας ἔρρωνται καὶ αἱ ἄλλαι τέχναι ἅπασαι, ὅπου δ' ἂν ἀναγκασθῇ ἡ γῆ χερσεύειν, ἀποσβέννυνται καὶ αἱ ἄλλαι τέχναι σχεδόν τι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.

Ἀκούσας δὲ ταῦτα ὁ Κριτόβουλος εἶπεν·

Κ. Ἀλλὰ ταῦτα μὲν ἔμοιγε, ὦ Σώκρατες, καλῶς δοκεῖς λέγειν· ὅτι δὲ τῆς γεωργικῆς τὰ πλεῖστά ἐστιν ἀνθρώπῳ ἀδύνατα προνοῆσαι . . . . . (11). Καὶ γὰρ χάλαζαι καὶ πάχναι ἐνίοτε καὶ αὐχμοὶ καὶ ὄμβροι ἐξαίσιοι καὶ ἐρυσῖβαι (12) καὶ ἄλλα πολλάκις τὰ καλῶς ἐγνωσμένα καὶ πεποιημένα ἀφαιροῦνται· καὶ πρόβατα δ' ἐνίοτε κάλλιστα τεθραμμένα νόσος ἐλθοῦσα κάκιστα ἀπώλεσεν.

Ἀκούσας δὲ ταῦτα ὁ Σωκράτης εἶπεν·

Σ. Ἀλλ' ᾤμην ἔγωγέ σε, ὦ Κριτόβουλε, εἰδέναι ὅτι οἱ θεοὶ οὐδὲν ἧττόν εἰσι κύριοι τῶν ἐν τῇ γεωργίᾳ ἔργων ἢ τῶν ἐν τῷ πολέμῳ. Καὶ τοὺς μὲν ἐν τῷ πολέμῳ ὁρᾷς, οἶμαι, πρὸ τῶν πολεμικῶν πράξεων ἐξαρεσκομένους τοὺς θεοὺς καὶ ἐπερωτῶντας θυσίαις καὶ οἰωνοῖς ὅ τι τε χρὴ ποιεῖν καὶ ὅ τι μή· περὶ δὲ τῶν γεωργικῶν πράξεων ἧττον οἴει δεῖν τοὺς θεοὺς ἱλάσκεσθαι; Εὖ γὰρ ἴσθι, ἔφη, ὅτι οἱ σώφρονες καὶ ὑπὲρ ὑγρῶν καὶ ξηρῶν καρπῶν (13) καὶ βοῶν καὶ ἵππων καὶ προβάτων καὶ ὑπὲρ πάντων γε δὴ τῶν κτημάτων τοὺς θεοὺς θεραπεύουσιν.

---

10. *Δωρούμενόν τε . . . ἀγαθούς.* « Faisant des présents à ceux qui font ce qu'il faut que les gens de bien facent. » (La Boëtie.)

11. Il manque ici dans les manuscrits quelque chose comme *ταύτου οὐ μέμνησαι*, ou *τούτου θαυμάζω σε ἀμνημονῆσαι.*

12. *Ἐρυσίβη*, maladie des graminées connue sous les divers noms de nielle, *charbon*, *rouille*; elle attaque les grains des graminées sans leur causer de ravages extérieurs, mais en détruisant la farine, qu'elle remplace par une sorte de poussière noire, grasse au toucher et fétide: cette maladie est due à un cryptogame parasite et microscopique.

13. *Καρποὶ ὑγροί*, *frumenta* les céréales (blé, orge, etc.); *καρποὶ ξηροί*, *legumina*, les légumineuses (fèves, pois, etc.).

CHAPITRE VI.

Κ. Ἀλλὰ ταῦτα μὲν, ἔφη, ὦ Σώκρατες, καλῶς μοι δοκεῖς λέγειν, κελεύων πειρᾶσθαι σὺν τοῖς θεοῖς ἄρχεσθαι παντὸς ἔργου, ὡς τῶν θεῶν κυρίων ὄντων οὐδὲν ἧττον τῶν εἰρηνικῶν ἢ τῶν πολεμικῶν ἔργων. Ταῦτα μὲν οὖ πειρασόμεθα οὕτω ποιεῖν· σὺ δ' ἡμῖν, ἔνθεν (1) λέγων περὶ τῆς οἰκονομίας ἀπέλιπες, πειρῶ τὰ τούτων ἐχόμενα (2) δεκπεραίνειν, ὡς καὶ νῦν μοι δοκῶ, ἀκηκοὼς ὅσα εἶπες, μᾶλλόν τι ἤδη διορᾶν ἢ πρόσθεν ὅ τι χρὴ ποιοῦντα βιοτεύειν.

Σ. Τί οὖν, ἔφη ὁ Σωκράτης, ἄρα, εἰ πρῶτον μὲν ἐπανέλθοιμεν ὅσα συνομολογοῦντες διεληλύθαμεν, ἤν πως δυνώμεθα (3) οὕτω (4) καὶ τὰ λοιπὰ διεξιέναι.

Κ. Ἡδὺ γοῦν ἐστιν, ἔφη ὁ Κριτόβουλος, ὥσπερ καὶ χρημάτων κοινωνήσαντας ἀναμφιλόγως διελθεῖν (5), οὕτω καὶ λόγων κοινωνοῦντας περὶ ὧν ἂν διαλεγώμεθα συνομολογοῦντας διεξιέναι.

Σ. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, ἐπιστήμης μέν τινος ἔδοξεν ἡμῖν ὄνομα εἶναι ἡ οἰκονομία, ἡ δὲ ἐπιστήμη αὕτη ἐφαίνετο ᾗ οἴκους δύνανται αὔξειν ἅνθρωποι (6), οἶκος δ' ἡμῖν ἐφαίνετο ὅπερ κτῆσις ἡ σύμπασα, κτῆσιν δὲ τοῦτο ἔφαμεν εἶναι ὅ τι ἑκάστῳ εἴη ὠφέλιμον εἰς τὸν βίον, ὠφέλιμα δὲ ὄντα ηὑρίσκετο πάντα ὁπόσοις τις ἐπίσταιτο χρῆσθαι (7). Πάσας μὲν οὖν τὰς ἐπιστήμας οὔτε μαθεῖν οἷόν τε ἡμῖν ἐδόκει, συναπεδοκιμάζομέν (8) τε (9) ταῖς πόλεσι τὰς βαναυσικὰς καλουμένας τέχνας, ὅτι καὶ τὰ σώματα καταλυμαίνεσθαι δοκοῦσι καὶ τὰς ψυχὰς καταγνύναι (10).

Ch. VI.] 1. *Ἔνθεν*, «à partir de là où,» comme *ἐντεῦθεν ἔνθα*.

2. *Τὰ τούτων ἐχόμενα*, ce qui tient avec, c.-à-d. la suite.

3. *Ἤν πως δυνώμεθα*, pour essayer de (comme s'il y avait: *ἵνα πειραθῶμεν*).

4. *Οὕτω*, c.-à-d. *συνομολογοῦντες*.

5. *Διελθεῖν*, de parcourir *leurs comptes*, de faire leurs comptes.

6. *Ἅνθρωποι*, crase pour *οἱ ἄνθρωποι*.

7. Socrate vient de résumer, dans les cinq lignes précédentes, la partie de la conversation, échangée entre Critoboulos et lui, qui remplit environ les deux premiers tiers du premier chapitre La phrase qui vient maintenant résume le début du chapitre IV.

8. *Σύν*, et *ἀποδοκιμάζειν* signifiant rejeter, renvoyer à la suite d'un examen. Au contraire, *δοκιμάζειν* (voy. page 267, ligne première), approuver, accepter après examen.

9. Ce *τε* et *-τε* dans *οὔτε μαθεῖν* se correspondent, comme on trouve en latin *neque . . . . et*.

10. On lit ici dans les manuscrits et éditions de l'*Économique*: *Τεχ-*

Σ. Ἐδοκιμάσαμεν δὲ ἀνδρὶ καλῷ τε κἀγαθῷ ἐργασίαν εἶναι καὶ ἐπιστήμην κρατίστην γεωργίαν, ἀφ' ἧς τὰ ἐπιτήδεια ἄνθρωποι(11) πορίζονται. Αὕτη γὰρ ἡ ἐργασία ἐδόκει εἶναι ἡδίστη ἐργάζεσθαι(12), καὶ τὰ σώματα κάλλιστά τε καὶ εὐρωστότατα παρέχεσθαι, καὶ ταῖς ψυχαῖς ἥκιστα ἀσχολίαν παρέχειν φίλων τε καὶ πόλεως συνεπιμελεῖσθαι. Συμπαροξύνειν δέ τι ἐδόκει ἡμῖν καὶ εἰς τὸ ἀλκίμους εἶναι ἡ γεωργία, ἔξω τῶν ἐρυμάτων τὰ ἐπιτήδεια φύουσά τε καὶ τρέφουσα(13) τοῖς ἐργαζομένοις. Διὰ ταῦτα δὲ καὶ εὐδοξοτάτη εἶναι πρὸς τῶν πόλεων αὕτη ἡ βιοτεία, ὅτι καὶ πολίτας ἀρίστους καὶ εὐνουστάτους παρέχεσθαι δοκεῖ τῷ κοινῷ (14).

Καὶ ὁ Κριτόβουλος.

Κ. Ὅτι (15) μέν, ὦ Σώκρατες, κάλλιστόν τε καὶ ἄριστον καὶ ἥδιστον ἀπὸ γεωργίας τὸν βίον ποιεῖσθαι πάνυ μοι δοκῶ πεπεῖσθαι ἱκανῶς· ὅτι δὲ ἔφησθα καταμαθεῖν(16) τὰ αἴτια τῶν τε οὕτω γεωργούντων ὥστε ἀπὸ τῆς γεωργίας ἀφθόνως ἔχειν ὧν δέονται, καὶ τῶν οὕτως ἐργαζομένων ὡς μὴ λυσιτελεῖν αὐτοῖς τὴν γεωργίαν, καὶ ταῦτ' ἄν μοι δοκῶ ἡδέως ἑκάτερα ἀκούειν σου, ὅπως ἃ μὲν ἀγαθά ἐστι ποιῶμεν, ἃ δὲ βλαβερὰ μὴ ποιῶμεν.

Σ. Τί οὖν, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, ἤν σοι ἐξ ἀρχῆς διηγήσωμαι ὡς συνεγενόμην ποτὲ ἀνδρί, ὃς ἐμοὶ ἐδόκει εἶναι τῷ ὄντι τούτων τῶν ἀνδρῶν ἐφ' οἷς τοῦτο τὸ ὄνομα δικαίως ἐστὶν ὃ καλεῖται καλός τε κἀγαθὸς ἀνήρ;

Κ. Πάνυ ἄν, ἔφη ὁ Κριτόβουλος, βουλοίμην ἄν τοῦτό σου ἀκούειν, ὡς καὶ ἔγωγε ἐρῶ τούτου τοῦ ὀνόματος ἄξιος γενέσθαι.

μήριον δὲ σαφέστατον γενέσθαι ἂν τούτου ἔφαμεν εἰ, πολεμίων εἰς τὴν χώραν ἰόντων, διακαθίσας τις τοὺς γεωργοὺς καὶ τοὺς τεχνίτας χωρὶς ἑκατέρους ἐπερωτῴη, πότερα δοκεῖ ἀρήγειν τῇ χώρᾳ, ἢ ἀφεμένους τῆς γῆς τὰ τείχη διαφυλάττειν; Οὕτω γὰρ ἂν τοὺς μὲν ἀμφὶ γῆν ἔχοντας ᾠόμεθ' ἂν ψηφίζεσθαι ἀρήγειν, τοὺς δὲ τεχνίτας μὴ μάχεσθαι, ἀλλ', ὅπερ πεπαίδευνται, καθῆσθαι μήτε πονοῦντας μήτε κινδυνεύοντας. Mais Xénophon n'a pas le moins du monde parlé de cela dans ce qui précède, et il n'en souffle même pas mot dans la suite : on doit considérer ce passage comme une intrusion dans son texte.

11. Voy. la note 6 de la page précédente.

12. *Αὕτη . . . ἐργάζεσθαι.* Les manuscrits et éditions de Xénophon donnent cette phrase comme suit : *Αὕτη γὰρ ἡ ἐργασία μαθεῖν τε ῥᾴστη ἐδόκει εἶναι καὶ ἡδίστη ἐργάζεσθαι.* Dans la suite on verra, en effet, que l'agriculture est une science *facile à apprendre*; mais, jusqu'à présent, il n'a pas été le moins du monde question de cela dans le dialogue.

13. *Φύουσα*: il s'agit des plantes; *τρέφουσα*, des troupeaux.

14. Ce dernier alinéa résume l'éloge de l'agriculture que renferme le chapitre v.

15. *Ὅτι* tombe sur les superlatifs: « la plus belle possible », etc.

16. Voy. le dialogue, p. 255, à partir de la ligne 19.

Σ. Λέξω τοίνυν σοι, ἔφη ὁ Σωκράτης, ὡς καὶ ἦλθον ἐπὶ τὴν σκέψιν αὐτοῦ. Τοὺς μὲν γὰρ ἀγαθοὺς τέκτονας, χαλκέας ἀγαθοὺς, ζωγράφους ἀγαθοὺς, ἀνδριαντοποιοὺς, καὶ τὰ ἄλλα τὰ τοιαῦτα, πάνυ ὀλίγος μοι χρόνος ἐγένετο ἱκανὸς περιελθεῖν τε καὶ θεάσασθαι τὰ δεδοκιμασμένα καλὰ ἔργα αὐτοῖς εἶναι(17). Ὅπως δὲ δὴ καὶ τοὺς ἔχοντας τὸ σεμνὸν ὄνομα τοῦτο τὸ καλός τε κἀγαθὸς ἐπισκεψαίμην, τί ποτ' ἐργαζόμενοι τοῦτ' ἀξιοῖντο καλεῖσθαι, πάνυ μου ἡ ψυχὴ ἐπεθύμει αὐτῶν τινι συγγενέσθαι. Καὶ πρῶτον μὲν ὅτι προσέκειτο τὸ καλὸς τῷ ἀγαθῷ, ὅντινα ἴδοιμι καλὸν, τούτῳ προσῄειν καὶ ἐπειρώμην καταμανθάνειν εἴ που ἴδοιμι προσηρτημένον τῷ καλῷ τὸ ἀγαθόν. Ἀλλ' οὐκ ἄρα εἶχεν οὕτως, ἀλλ' ἐνίους ἐδόκουν καταμανθάνειν τῶν καλῶν τὰς μορφὰς πάνυ μοχθηροὺς ὄντας τὰς ψυχάς. Ἔδοξεν οὖν μοι ἀφέμενον τῆς καλῆς ὄψεως ἐπ' αὐτῶν τινα ἐλεῖν τῶν καλουμένων καλῶν τε κἀγαθῶν. Ἐπεὶ οὖν τὸν Ἰσχόμαχον(18) ἤκουον πρὸς πάντων καὶ ἀνδρῶν καὶ γυναικῶν καὶ ξένων καὶ ἀστῶν καλόν τε κἀγαθὸν ἐπονομαζόμενον, ἔδοξέ μοι τούτῳ πειραθῆναι συγγενέσθαι.

CHAPITRE VII.

Σ. Ἰδὼν οὖν ποτε αὐτὸν ἐν τῇ τοῦ Διὸς τοῦ Ἐλευθερίου στοᾷ(1) καθήμενον, ἐπεί μοι ἔδοξε σχολάζειν, προσῆλθον αὐτῷ, καὶ παρακαθιζόμενος εἶπον·

ΣΩΚΡΑΤΗΣ. « Τί, ὦ Ἰσχόμαχε, οὐ μάλα εἰωθὼς σχολάζειν, κάθησαι; Ἐπεὶ τά γε πλεῖστα ἢ πράττοντά τι ὁρῶ σε ἢ οὐ πάνυ σχολάζοντα ἐν τῇ ἀγορᾷ. »

ΙΣΧΟΜΑΧΟΣ. « Οὐδὲ ἂν νῦν γε, » ἔφη ὁ Ἰσχόμαχος, « ὦ Σώκρατες, ἑώρας, εἰ μὴ ξένους τινὰς συνεθέμην ἀναμένειν ἐνθάδε. »

Σ. « Ὅταν δὲ μὴ πράττῃς τι τοιοῦτον, πρὸς τῶν θεῶν, » ἔφην ἐγὼ « ποῦ διατρίβεις καὶ τί ποιεῖς; — Ἐγὼ γάρ τοι πάνυ βούλομαί σου πυθέσθαι τί ποτε πράττων καλός τε κἀγαθὸς κέκλησαι· ἐπεὶ οὐκ ἔνδον γε διατρίβεις, οὐδὲ τοιαύτη σου ἡ ἕξις τοῦ σώματος καταφαίνεται. »

---

17. *Τοὺς . . . . εἶναι.* Construisez : *Περιελθεῖν τε τοὺς ἀγαθοὺς τέκτονας κτλ. καὶ θεάσασθαι τὰ ἔργα δεδοκιμασμένα αὐτοῖς* (comme *ὑπ' αὐτῶν*) *εἶναι καλά.*

18. *Ἰσχόμαχον.* On manque absolument de renseignements sur la personne de cet Ischomachos, à moins qu'on n'admette que c'est le même personnage dont se moqua, à cause de son avarice, le poète comique Cratinos, le rival d'Aristophane.

Ch. VII.] 1. Le portique de *Ζεὺς Ἐλευθέριος* formait, à ce qu'on croit, une partie de la bordure occidentale de l'agora d'Athènes.

Καὶ ὁ Ἰσχόμαχος γελάσας ἐπὶ τῷ τί ποιῶν καλὸς κἀγαθὸς κέκληται, καὶ ἡσθείς, ὥς γ' ἐμοὶ ἔδοξεν, εἶπεν·

Ι. « Ἀλλ' εἰ μέν, ὅταν σοι διαλέγωνται περὶ ἐμοῦ, τινὲς καλοῦσί με τοῦτο τὸ ὄνομα, οὐκ οἶδα· οὐ γὰρ δή, ὅταν γέ με εἰς ἀντίδοσιν καλῶνται τριηραρχίας ἢ χορηγίας (2), οὐδεὶς » ἔφη « ζητεῖ τὸν καλόν τε κἀγαθόν, ἀλλὰ σαφῶς » ἔφη « ὀνομάζοντές με Ἰσχόμαχον πατρόθεν (3) προσκαλοῦνται. Ἐγὼ μὲν τοίνυν, » ἔφη « ὦ Σώκρατες, ὅ με ἐπήρου, οὐδαμῶς ἔνδον διατρίβω. Καὶ γὰρ δὴ » ἔφη « τά γε ἐν τῇ οἰκίᾳ μου πάνυ καὶ αὐτὴ (4) ἡ γυνή ἐστιν ἱκανὴ διοικεῖν. »

Σ. « Ἀλλὰ καὶ τοῦτο » ἔφην « ἔγωγε, ὦ Ἰσχόμαχε, πάνυ ἂν ἡδέως σου πυθοίμην, πότερα αὐτὸς σὺ ἐπαίδευσας τὴν γυναῖκα ὥστε εἶναι οἵαν δεῖ, ἢ ἐπισταμένην ἔλαβες παρὰ τοῦ πατρὸς καὶ τῆς μητρὸς διοικεῖν τὰ προσήκοντα αὐτῇ. »

Ι. « Καὶ τί (5) ἄν, » ἔφη « ὦ Σώκρατες, ἐπισταμένην αὐτὴν παρέλαβον, ἣ ἔτη μὲν οὔπω πεντεκαίδεκα γεγονυῖα ἦλθε πρὸς ἐμέ, τὸν δ' ἔμπροσθεν χρόνον ἔζη ὑπὸ πολλῆς ἐπιμελείας ὅπως ὡς ἐλάχιστα μὲν ὄψοιτο, ἐλάχιστα δ' ἀκούσοιτο, ἐλάχιστα δ' ἐροίη (6); Οὐ γὰρ ἀγαπητὸν σοι δοκεῖ εἶναι εἰ μόνον ἦλθεν ἐπισταμένη ἔρια παραλαβοῦσα ἱμάτιον ἀποδεῖξαι, καὶ ἑωρακυῖα ὡς ἔργα ταλάσια θεραπαίναις δίδοται; Ἐπεὶ τά γε ἀμφὶ γαστέρα » ἔφη « πάνυ καλῶς, ὦ Σώκρατες, ἦλθε πεπαιδευμένη· ὅπερ μέγιστον ἔμοιγε δοκεῖ παίδευμα εἶναι καὶ ἀνδρὶ καὶ γυναικί. »

Σ. « Τὰ δ' ἄλλα, » ἔφην ἐγὼ « ὦ Ἰσχόμαχε, αὐτὸς ἐπαίδευσας τὴν γυναῖκα ὥστε ἱκανὴν εἶναι ὧν προσήκει ἐπιμελεῖσθαι; »

Ι. « Οὐ μὰ Δί', » ἔφη ὁ Ἰσχόμαχος « οὐ πρίν γε καὶ ἔθυσα καὶ ηὐξάμην ἐμέ τε τυγχάνειν διδάσκοντα καὶ ἐκείνην μανθάνουσαν τὰ βέλτιστα ἀμφοτέροις ἡμῖν. »

---

2. *Τριηραρχίας ἢ χορηγίας*. Lorsqu'un Athénien était désigné pour faire les frais d'une triérarchie ou d'une chorégie (voy. page 251. notes 15 et 18), il pouvait se soustraire à cette charge en indiquant, pour la remplir au lieu de lui, tel Athénien qu'il prétendait être plus riche que lui. Celui-ci refusait-il, il était alors tenu, si l'autre le proposait, de faire avec lui l'échange de leurs biens respectifs: cet échange s'appelait *ἀντίδοσις*.

3. *Πατρόθεν*, « en ajoutant le nom de mon père ». On sait que dans les actes officiels les personnes étaient désignées par leur nom et celui de leur père au génitif, plus la mention de leur *dème* (arrondissement); exemple: *Δημοσθένης Δημοσθένους Παιανιεύς*.

4. *Καὶ αὐτή*, à elle seule.

5. *Τί* est le régime de *ἐπισταμένην*.

6. *Ἐροίη*. L'optatif des futurs contractes est en *οίην, οίης, οίη*, au singulier, chez les Attiques.

Σ. «Οὐκοῦν» ἔφην ἐγὼ «καὶ ἡ γυνή σοι συνέθυε καὶ συνηύχ
ταὐτὰ ταῦτα;»

Ι. «Καὶ μάλα γ᾽,» ἔφη ὁ Ἰσχόμαχος «πολλὰ ὑπισχνουμένη πρὸς τοὺς θεοὺς(7) γενήσεσθαι οἵαν δεῖ, καὶ εὔδηλος ἦν οὐκ ἀμελήσοι τῶν διδασκομένων.»

Σ. «Πρὸς θεῶν,» ἔφην ἐγὼ «ὦ Ἰσχόμαχε, τί (8) πρῶτον
δάσκειν ἤρχου αὐτὴν, διηγοῦ μοι, ὡς ἐγὼ ταῦτ᾽ ἂν ἥδιόν διηγουμένου ἀκούοιμι ἢ εἴ μοι γυμνικὸν ἢ ἱππικὸν ἀγῶνα(9) κάλλιστον διηγοῖο.»

Καὶ ὁ Ἰσχόμαχος ἀπεκρίνατο·

Ι. «Τί δ᾽;» ἔφη «ὦ Σώκρατες· ἐπεὶ ἤδη μοι χειροήθης ἦν
ἐτετιθάσευτο ὥστε διαλέγεσθαι, ἠρόμην αὐτὴν» ἔφη »ὧδέ πα

«Εἰπέ μοι, ὦ γύναι, ἆρα ἤδη κατενόησας τίνος ποτὲ ἕνε
»ἐγώ τε σὲ ἔλαβον καὶ οἱ σοὶ γονεῖς ἔδοσάν σε ἐμοί; Ὅτι μ
»γὰρ οὐκ ἀπορία ἦν μεθ᾽ ὅτου ἄλλου ἐκαθεύδομεν ἄν, οἶδ᾽ ὅ
»καὶ σοὶ καταφανὲς τοῦτ᾽ ἐστί. Βουλευόμενος δ᾽ ἐγώ τε ὑπὲ
»ἐμοῦ καὶ οἱ σοὶ γονεῖς ὑπὲρ σοῦ τίν᾽ ἂν κοινωνὸν βέλτιστ
»οἴκου τε καὶ τέκνων λάβοιμεν, ἐγώ τε σὲ ἐξελεξάμην καὶ οἱ σ
»γονεῖς, ὡς ἐοίκασιν, ἐκ τῶν δυνατῶν (10), ἐμέ. Τέκνα μὲν ο
»ἢν θεός ποτε διδῷ ἡμῖν γενέσθαι, τότε βουλευσόμεθα πε
»αὐτῶν ὅπως ὅτι βέλτιστα παιδεύσομεν αὐτά· κοινὸν γὰρ ἡμ
»καὶ τοῦτο ἀγαθὸν, συμμάχων καὶ γηροβοσκῶν ὅτι βελτίστ
»τυγχάνειν· νῦν δὲ δὴ ὁ οἶκος ἡμῖν ὅδε κοινός ἐστιν. Ἐγώ τε γ
»ὅσα μοι ἔστιν ἅπαντα εἰς τὸ κοινὸν ἀποφαίνω, σύ τε ὅσα ἐπ
»νέγκω (11) πάντα εἰς τὸ κοινὸν κατέθηκας. Καὶ οὐ τοῦτο δ
»λογίζεσθαι πότερος ἄρα ἀριθμῷ πλείω συμβέβληται ἡμῶν, ἀλ
»ἐκεῖνο εὖ εἰδέναι ὅτι ὁπότερος ἂν ἡμῶν βελτίων κοινωνὸς
»οὗτος τὰ πλείονος ἄξια συμβάλλεται.»

«Ἀπεκρίνατο δέ μοι, ὦ Σώκρατες, πρὸς ταῦτα ἡ γυνή·

ΓΥΝΗ. «Τί δ᾽ ἂν ἐγώ σοι» ἔφη «δυναίμην συμπρᾶξαι; Τίς

---

7. Ὑπισχνουμένη πρὸς τοὺς θεοὺς, promettant *en s'adressant* aux dieu
promettant à la face des dieux.

8. *Τί*, l'interrogatif direct, pour ὅ τι, l'interrogatif indirect, comme
arrive souvent (*διηγοῦ μοι ὅ τι κτλ.*).

9. *Γυμνικὸς ἀγών*, jeu gymnique, savoir: lutte, combat du ceste, cou
à pied, jeu du disque, etc.; *ἱππικὸς ἀγών*, course de chars, course
selle, etc.

10. *Ἐκ τῶν δυνατῶν*, dans la mesure où il leur était possible (de choisi
On a proposé cette autre traduction: «e potentibus, divitibus»; mais e
paraît peu satifaisante pour la suite des idées.

11. *Ἐπιφέρεσθαι*, apporter en dot.

» ἡ ἐμὴ δύναμις; Ἀλλ' (12) ἐν σοὶ πάντα ἐστίν· ἐμὸν δ' ἔφησεν ἡ
» μήτηρ ἔργον εἶναι σωφρονεῖν.»

Ι. «Ναὶ μὰ Δί',» ἔφην ἐγὼ «ὦ γύναι, καὶ γὰρ ἐμοὶ ὁ πατήρ.
» Ἀλλὰ σωφρόνων τοί ἐστι καὶ ἀνδρὸς καὶ γυναικὸς οὕτω ποιεῖν
» ὅπως τά τε ὄντα ὡς βέλτιστα ἕξει καὶ ἄλλα ὅτι πλεῖστα ἐκ
» τοῦ καλοῦ τε καὶ δικαίου προσγενήσεται.»

ΓΥΝΗ. «Καὶ τί δὴ» ἔφη «ὁρᾷς» ἡ γυνὴ «ὅ τι ἂν ἐγὼ ποιοῦσα
» συναύξοιμι τὸν οἶκον;»

Ι. «Ναὶ μὰ Δί',» ἔφην ἐγὼ «ἃ οἵ τε θεοὶ ἔφυσάν σε δύνα-
» σθαι καὶ ὁ νόμος συνεπαινεῖ, ταῦτα πειρῶ ὡς βέλτιστα ποιεῖν.»

ΓΥΝΗ. «Καὶ τί δὴ ταῦτά ἐστιν;» ἔφη ἐκείνη.

Ι. «Οἶμαι μὲν ἔγωγε» ἔφην «οὐ τὰ ἐλαχίστου ἄξια, εἰ μή πέρ
» γε (13) καὶ ἡ ἐν τῷ σμήνει ἡγεμὼν μέλιττα ἐπ' ἐλαχίστου ἀξίοις
» ἔργοις ἐφέστηκεν. Ἐμοὶ γάρ τοι», ἔφη φάναι (14), «καὶ οἱ θεοί,
» ὦ γύναι, δοκοῦσι πολὺ διεσκεμμένως μάλιστα τὸ ζεῦγος τοῦτο
» συντεθεικέναι ὃ καλεῖται θῆλυ καὶ ἄρρεν, ὅπως (15) ὅτι ὠφελι-
» μώτατον ᾖ αὑτῷ εἰς τὴν κοινωνίαν. Πρῶτον μὲν γὰρ τοῦ μὴ
» ἐκλιπεῖν ζῴων γένη τοῦτο ζεῦγος κεῖται μετ' ἀλλήλων τεκνο-
» ποιούμενον, ἔπειτα τὸ γηροβοσκοὺς κεκτῆσθαι ἑαυτοῖς ἐκ τούτου
» τοῦ ζεύγους τοῖς γοῦν. ἀνθρώποις πορίζεται· ἔπειτα δὲ καὶ ἡ
» δίαιτα τοῖς ἀνθρώποις οὐχ ὥσπερ τοῖς κτήνεσίν ἐστιν ἐν ὑπαί-
» θρῳ, ἀλλὰ στεγνῶν δεῖται δῆλον ὅτι. Δεῖ μέντοι, τοῖς μέλλουσιν
» ἀνθρώποις ἕξειν ὅ τι εἰσφέρωσιν εἰς τὸ στεγνόν, τοῦ ἐργασο-
» μένου (16) τὰς ἐν τῷ ὑπαίθρῳ ἐργασίας· καὶ γὰρ νεατὸς καὶ
» σπόρος καὶ φυτεία καὶ νομαί, ὑπαίθρια ταῦτα πάντα ἔργα ἐστίν·
» ἐκ τούτων δὲ τὰ ἐπιτήδεια γίγνεται. Δεῖ δ' αὖ, ἐπειδὰν ταῦτα εἰ-
» σενεχθῇ εἰς τὸ στεγνόν, καὶ τοῦ σώσοντος ταῦτα, καὶ τοῦ ἐργα-
» σομένου ἃ τῶν στεγνῶν ἔργα δεόμενά ἐστι (17). Στεγνῶν δὲ δεῖ-
» ται καὶ ἡ τῶν νεογνῶν τέκνων παιδοτροφία, στεγνῶν δὲ καὶ αἱ
» ἐκ τοῦ καρποῦ σιτοποιίαι δέονται· ὡσαύτως δὲ καὶ ἡ τῆς ἐσθῆ-

---

12. Ἀλλά. Pour se rendre compte de ἀλλά, il faut s.-ent. la réponse: *Je n'en ai aucune.*

13. *Εἰ μή πέρ γε*, s'il est vrai que . . . . ne . . . . pas.

14. *Ἔφη φάναι*. Ne pas perdre de vue que Socrate raconte qu'Ischomachos lui rapportrait une conversation qu'il avait eue avec sa femme. Ἔφη, *me* dit Ischomachos, *φάναι*, qu'il avait dit *à sa femme*.

15. *Μάλιστα ὅπως*, surtout dans cette vue que.

16. *Δεῖ . . . τοῦ ἐργασομένου*, et de même plus bas *δεῖ . . . τοῦ σώσοντος*, il faut quelqu'un pour faire, quelqu'un pour conserver. Cf. p. 261, n. 26.

17. *Δεόμενά ἐστι*. C'est comme s'il y avait *τοῦ ἐργασομένου τὰ ἔργα ἃ τῶν στεγνῶν δεῖται*.

»τος ἐκ τῶν ἐρίων ἐργασία. Ἐπεὶ δ' ἀμφότερα ταῦτα καὶ ἔργ
»καὶ ἐπιμελείας δεῖται τά τε ἔνδον καὶ τὰ ἔξω, καὶ τὴν φύσι
φάναι (18) «εὐθὺς παρεσκεύασεν ὁ θεὸς, ὡς ἐμοὶ δοκεῖ, τὴν μ
»τῆς γυναικὸς ἐπὶ τὰ ἔνδον ἔργα καὶ ἐπιμελήματα, τὴν δὲ τ
»ἀνδρὸς ἐπὶ τὰ ἔξω. Ῥίγη μὲν γὰρ καὶ θάλπη καὶ ὁδοιπορί
»καὶ στρατείας τοῦ ἀνδρὸς τὸ σῶμα καὶ τὴν ψυχὴν μᾶλλον δύ
»σθαι καρτερεῖν κατεσκεύασεν (19), ὥστε τὰ ἔξω ἐπέταξεν αὐ
»ἔργα· τῇ δὲ γυναικὶ ἧττον τὸ σῶμα δυνατὸν πρὸς ταῦτα φ
»σας, τὰ ἔνδον ἔργα αὐτῇ» φάναι ἔφη «προστάξαι μοι δο
»ὁ θεός. Εἰδὼς δὲ ὅτι τῇ γυναικὶ καὶ ἐνέφυσε καὶ προσέταξε τ
»τῶν νεογνῶν τέκνων τροφὴν, καὶ τοῦ στέργειν τὰ νεογνὰ βρέ
»πλεῖον αὐτῇ ἐδάσατο ἢ τῷ ἀνδρί. Ἐπεὶ δὲ καὶ τὸ φυλάττ
»τὰ εἰσενεχθέντα τῇ γυναικὶ προσέταξε, γιγνώσκων ὁ θεὸς
»πρὸς τὸ φυλάττειν οὐ κάκιόν ἐστι φοβερὰν (20) εἶναι τὴν ψυχ
»πλεῖον μέρος καὶ τοῦ φόβου ἐδάσατο τῇ γυναικὶ ἢ τῷ ἀν
»Εἰδὼς δὲ ὅτι καὶ ἀρήγειν αὖ δεήσει, ἐάν τις ἀδικῇ, τὸν τὰ
»ἔργα ἔχοντα, τούτῳ αὖ πλεῖον μέρος τοῦ θράσους ἐδάσ
»Ὅτι δ' ἀμφοτέρους δεῖ καὶ διδόναι καὶ λαμβάνειν, τὴν μνή
»καὶ τὴν ἐπιμέλειαν εἰς τὸ μέσον ἀμφοτέροις κατέθηκεν. Ὥστε
»ἂν ἔχοις διελεῖν πότερα τὸ ἔθνος τὸ θῆλυ ἢ τὸ ἄρρεν τού
»πλεονεκτεῖ. Καὶ τὸ ἐγκρατεῖς δὲ εἶναι ὧν δεῖ εἰς τὸ μέσον
»φοτέροις κατέθηκε, καὶ ἐξουσίαν ἐποίησεν ὁ θεὸς ὁπότερος
»ᾖ βελτίων, εἴθ' ὁ ἀνὴρ εἴθ' ἡ γυνὴ τοῦτον καὶ πλεῖον φέρεσ
»τούτου τοῦ ἀγαθοῦ. Διὰ δὲ τὸ τὴν φύσιν μὴ πρὸς πάντα τ
»τὰ ἀμφοτέρων εὖ πεφυκέναι, διὰ τοῦτο καὶ δέονται μᾶλλον
»λήλων καὶ τὸ ζεῦγος ὠφελιμώτερον ἑαυτῷ γεγένηται, ἃ τὸ ἕ
»ρον ἐλλείπεται (21) τὸ ἕτερον δυνάμενον (22). Ταῦτα δὲ» ἔφ
«δεῖ ἡμᾶς, ὦ γύναι, εἰδότας, ἃ ἑκατέρῳ ἡμῶν προστέτακται ὑ
»τοῦ θεοῦ, πειρᾶσθαι ὅπως βέλτιστα τὰ προσήκοντα ἑκάτερ
»ἡμῶν διαπράττεσθαι (23). Συνεπαινεῖ δὲ» ἔφη φάναι καὶ ὁ

---

18. *Φάναι, dit Ischomachos* qu'il disait.
19. *Ῥίγη τὸ σῶμα δύνασθαι καρτερεῖν κατεσκεύασεν*, il a bâti le co *de façon à* pouvoir supporter le froid.
20. *Φοβέρος*, craintif (acception rare).
21. *Ἃ τὸ ἕτερον ἐλλείπεται*, ce dont l'autre est incapable.
22. *Τὸ ἕτερον*, au même cas que *τὸ ζεῦγος*. expression collective d il désigne un membre. En grec, le mot qui désigne la partie reste a souvent au même cas que celui qui a servi à désigner le tout. On au ici en latin l'ablatif absolu.
23. Construisez: *Δεῖ ἡμᾶς εἰδότας ταῦτα, ἃ ἑκατέρῳ κτλ., πειρᾶσθαι* *πράττεσθαι ὅπως βέλτιστα τὰ προσήκοντα*. — *Ἑκάτερον ἡμῶν* (essayer faire chacun, etc.), à l'accusatif comme *ἡμᾶς*, à cause du rapport de

»μος αὐτά, συζευγνὺς ἄνδρα καὶ γυναῖκα. Καὶ κοινωνοὺς ὥσπερ »τῶν τέκνων ὁ θεὸς ἐποίησεν, οὕτω καὶ ὁ νόμος τοῦ οἴκου(24) »καθίστησι. Καὶ καλὰ δὲ εἶναι ὁ νόμος ἀποδείκνυσιν ἃ ὁ θεὸς »ἔφυσεν ἑκάτερον μᾶλλον δύνασθαι. Τῇ μὲν γὰρ γυναικὶ κάλλιον »ἔνδον μένειν ἢ θυραυλεῖν, τῷ δὲ ἀνδρὶ αἴσχιον ἔνδον μένειν ἢ »τῶν ἔξω ἐπιμελεῖσθαι. Εἰ δέ τις παρ' ἃ ὁ θεὸς ἔφυσε ποιεῖ, »ἴσως τι καὶ ἀτακτῶν τοὺς θεοὺς οὐ λήθει, καὶ δίκην δίδωσιν »ἀμελῶν τῶν ἔργων τῶν ἑαυτοῦ ἢ πράττων τὰ τῆς γυναικὸς ἔργα. »Δοκεῖ δέ μοι» ἔφην «καὶ ἡ τῶν μελιττῶν ἡγεμὼν τοιαῦτα ἔργα »ὑπὸ τοῦ θεοῦ προστεταγμένα διαπονεῖσθαι.»

ΓΥΝΗ. «Καὶ ποῖα δὴ» ἔφη ἐκείνη «ἔργα ἔχουσα ἡ τῶν με»λιττῶν ἡγεμὼν ἐξομοιοῦται τοῖς ἔργοις οἷς(25) ἐμὲ δεῖ πράττειν.»

Ι. «Ὅτι» ἔφην ἐγὼ «ἐκείνη γε ἐν τῷ σμήνει μένουσα οὐκ ἐᾷ »ἀργοὺς τὰς μελίττας εἶναι, ἀλλ' ἃς μὲν δεῖ ἔξω ἐργάζεσθαι ἐκ»πέμπει ἐπὶ τὸ ἔργον, καὶ ἃ ἂν αὐτῶν ἑκάστη εἰσφέρῃ οἶδέ τε »καὶ δέχεται, καὶ σώζει ταῦτα ἔστ' ἂν δέῃ χρῆσθαι. Ἐπειδὰν δὲ »ἡ ὥρα τοῦ χρῆσθαι ἥκῃ, διανέμει τὸ δίκαιον ἑκάστῃ. Καὶ ἐπὶ »τοῖς ἔνδον δ' ἐξυφαινομένοις κηρίοις ἐφέστηκεν, ὡς καλῶς καὶ »ταχέως ὑφαίνηται, καὶ τοῦ γιγνομένου τόκου ἐπιμελεῖται ὡς ἐκ»τρέφηται· ἐπειδὰν δὲ ἐκτραφῇ καὶ ἀξιοεργοὶ οἱ νεοττοὶ γένωνται, »ἀποικίζει(26) αὐτοὺς σὺν τῶν ἐπιγόνων τινὶ ἡγεμόνι.»

ΓΥΝΗ. «Ἦ καὶ ἐμὲ οὖν» ἔφη ἡ γυνὴ «δεήσει ταῦτα ποιεῖν;»

Ι. «Δεήσει μέντοι(27) σε» ἔφην ἐγὼ «ἔνδον τε μένειν, καὶ »οἷς μὲν ἂν ἔξω τὸ ἔργον ᾖ τῶν οἰκετῶν, τούτους συνεκπέμπειν, »οἷς δ' ἂν ἔνδον ἔργον ἐργαστέον, τούτων σοι ἐπιστατητέον· καὶ »τά τε εἰσφερόμενα ἀποδεκτέον, καὶ ἃ μὲν ἂν αὐτῶν δέῃ δαπα»νᾶν σοὶ διανεμητέον, ἃ δ' ἂν περιττεύειν δέῃ προνοητέον, καὶ »φυλακτέον ὅπως μὴ ἡ εἰς τὸν ἐνιαυτὸν κειμένη δαπάνη εἰς τὸν »μῆνα δαπανᾶται· καὶ ὅταν ἔρια εἰσενεχθῇ σοι, ἐπιμελητέον ὅπως »οἷς δεῖ ἱμάτια γίγνηται· καὶ ὅ γε ξηρὸς σῖτος ὅπως καλῶς ἐδώ»διμος γίγνηται ἐπιμελητέον. Ἓν μέντοι τῶν σοὶ προσηκόντων» ἔφην ἐγὼ «ἐπιμελημάτων(28) ἴσως ἀχαριτώτερον δόξει εἶναι, ὅτι

---

et de partie: voy. la note précédente. — Ὅπως βέλτιστα, équivalent ionien de ὡς βέλτιστα.

24. *Τοῦ οἴκου*, sous-entendu *κοινωνούς*.

25. *Οἷς*, attraction pour *ἅ*. — La comparaison est énoncée dans une forme grammaticalement peu rigoureuse. Le sens est: Quelles sont les occupations de la reine des abeilles, qui sont comparables à celles de la ménagère?

26. *Ἀποικίζει*, elle les envoie fonder une colonie.

27. *Μέντοι*. Cf. p. 246, note 15.

28. *Τῶν* . . . . *ἐπιμελημάτων* dépend de *ἕν* (et non du comparatif).

»ὃς ἂν κάμνῃ τῶν οἰκετῶν, τούτου σοι ἐπιμελητέον πάντως ὅπως
»θεραπεύηται.»

ΓΥΝΗ. «Νὴ Δί',» ἔφη ἡ γυνὴ «ἐπιχαριτώτατον μὲν οὖν, ἢν
»μέλλωσί γε οἱ καλῶς θεραπευθέντες χάριν εἴσεσθαι καὶ εὐνού-
»στεροι ἢ πρόσθεν ἔσεσθαι.»

«Καὶ ἐγὼ» ἔφη ὁ Ἰσχόμαχος «ἀγασθεὶς αὐτῆς τὴν ἀπόκρισιν
εἶπον·

Ι. «Ἆρά γε, ὦ γύναι, διὰ τοιαύτας τινὰς προνοίας καὶ τῆς ἐν
»τῷ σμήνει ἡγεμόνος αἱ μέλιτται οὕτω διατίθενται πρὸς αὐτήν,
»ὥστε, ὅταν ἐκείνη ἐκλίπῃ (29), οὐδεμία οἴεται τῶν μελιττῶν ἀπο-
»λειπτέον εἶναι, ἀλλ' ἕπονται πᾶσαι;»

«Καὶ ἡ γυνή μοι ἀπεκρίνατο·

ΓΥΝΗ. «Θαυμάζοιμ' ἂν» ἔφη «εἰ μὴ πρὸς σὲ μᾶλλον τείνοι
»τὰ τοῦ ἡγεμόνος ἔργα ἢ πρὸς ἐμέ. Ἡ γὰρ ἐμὴ φυλακὴ τῶν
»ἔνδον καὶ διανομὴ γελοία τις ἂν, οἶμαι, φαίνοιτο, εἰ μὴ σύ γε
»ἐπιμελοῖο ὅπως ἔξωθέν τι εἰσφέροιτο.»

Ι. «Γελοία δ' αὖ» ἔφην ἐγὼ «ἡ ἐμὴ εἰσφορὰ φαίνοιτ' ἄν, εἰ
»μὴ εἴη ὅστις τὰ εἰσενεχθέντα σώζοι. Οὐχ ὁρᾷς» ἔφην ἐγὼ «οἱ
»εἰς τὸν τετρημένον πίθον ἀντλεῖν (30) λεγόμενοι ὡς οἰκτείρον-
»ται, ὅτι μάτην πονεῖν δοκοῦσι;»

ΓΥΝΗ. «Νὴ Δί',» ἔφη ἡ γυνὴ «καὶ γὰρ τλήμονές εἰσιν, εἰ
»τοῦτό γε ποιοῦσιν.»

Ι. «Ἄλλαι δέ τοι» ἔφην ἐγὼ «ἴδιαι ἐπιμέλειαι, ὦ γύναι, ἡδεῖαί
»σοι γίγνονται, ὁπόταν ἀνεπιστήμονα ταλασίας λαβοῦσα ἐπιστή-
»μονα (31) ποιήσῃς καὶ διπλασίου σοι ἀξία γένηται, καὶ ὁπόταν
»ἀνεπιστήμονα ταμιείας καὶ διακονίας παραλαβοῦσα ἐπιστήμονα
»καὶ πιστὴν καὶ διακονικὴν ποιησαμένη παντὸς ἀξίαν (32) ἔχῃς, καὶ
»ὁπόταν τοὺς μὲν σώφρονάς τε καὶ ὠφελίμους τῷ σῷ οἴκῳ ἐξῇ
»σοι εὖ ποιῆσαι, ἐὰν δέ τις πονηρὸς φαίνηται, ἐξῇ σοι κολάσαι·
»τὸ δὲ πάντων ἥδιστον, ἐὰν βελτίων ἐμοῦ φανῇς, καὶ ἐμὲ σὸν
»θεράποντα ποιήσῃ (33), καὶ μὴ δέῃ σε φοβεῖσθαι μή, προϊού-
»σης τῆς ἡλικίας, ἀτιμοτέρα ἐν τῷ οἴκῳ γένῃ, ἀλλὰ πιστεύῃς ὅτι
»πρεσβυτέρα γιγνομένη ὅσῳ ἂν καὶ ἐμοὶ κοινωνὸς καὶ παισὶν οἴ-
»κου φύλαξ ἀμείνων γίγνῃ, τοσούτῳ καὶ τιμιωτέρα ἐν τῷ οἴκῳ

29. *Ἐκλίπῃ*, sous-ent. *αὐτό*, c'est-à-dire *τὸ σμῆνος*.
30. Proverbe souvent cité: *Εἰς τὸν τετρημένον πίθον ἀντλεῖς.*
31. *Ἐπιστήμονα*, sous-ent. *τινά* (une servante).
32. *Παντὸς ἀξίαν*, d'un prix inestimable.
33. *Ποιεῖν*, *facere*. *Ποιεῖσθαι*, *sibi facere*, *sibi reddere*.

» ἔσει (34). Τὰ γὰρ καλά τε κἀγαθὰ » ἐγὼ ἔφην « οὐ διὰ τὰς » ὡραιότητας, ἀλλὰ διὰ τὰς ἀρετὰς εἰς τὸν βίον τοῖς ἀνθρώποις » ἐπαύξεται. »

« Τοιαῦτα μέν, ὦ Σώκρατες, δοκῶ μεμνῆσθαι αὐτῇ τὰ πρῶτα » διαλεχθείς. »

CHAPITRE VIII.

Σ. « Ἦ καὶ ἐπέγνως τι, ὦ Ἰσχόμαχε, » ἔφην ἐγὼ « ἐκ τούτων (1) αὐτὴν κεκινημένην μᾶλλον πρὸς τὴν ἐπιμέλειαν; »

I. « Ναὶ μὰ Δί', » ἔφη ὁ Ἰσχόμαχος « καὶ δηχθεῖσάν γε οἶδα αὐτήν καὶ ἐρυθριάσασαν σφόδρα ὅτι τῶν εἰσενεχθέντων τι αἰτήσαντος ἐμοῦ οὐκ εἶχέ μοι δοῦναι. Καὶ ἐγὼ μέντοι ἰδὼν ἀχθεσθεῖσαν αὐτὴν εἶπον·

« Μηδέν τι » ἔφην « ἀθυμήσῃς, ὦ γύναι, ὅτι οὐκ ἔχεις δοῦναι » ὅ σε αἰτῶν τυγχάνω. Ἔστι μὲν γὰρ πενία αὕτη (2) σαφής, τὸ » δεόμενόν τινος μὴ ἔχειν χρῆσθαι· ἀλυποτέρα δὲ αὕτη ἡ ἔνδεια » τὸ ζητοῦντά τι μὴ δύνασθαι λαβεῖν ἢ τὴν ἀρχὴν (3) μηδὲ ζητεῖν » εἰδότα ὅτι οὐκ ἔστιν. Ἀλλὰ γὰρ » ἔφην ἐγὼ « τούτων οὐ σὺ αἰτία· » ἀλλ' ἐγὼ (4) οὐ τάξας σοι παρέδωκα ὅπου χρὴ ἕκαστα κεῖσθαι, » ὅπως εἰδῇς ὅπου τε δεῖ τιθέναι καὶ ὁπόθεν λαμβάνειν. Ἔστι » δ' οὐδὲν οὕτως, ὦ γύναι, οὔτ' εὔχρηστον οὔτε καλὸν ἀνθρώποις » ὡς τάξις. Καὶ γὰρ χορὸς ἐξ ἀνθρώπων συγκείμενός ἐστιν· ἀλλ' » ὅταν μὲν ποιῶσιν ὅ τι ἂν τύχῃ ἕκαστος, ταραχή τις φαίνεται » καὶ θεᾶσθαι ἀτερπές, ὅταν δὲ τεταγμένως ποιῶσι καὶ φθέγ- » γωνται, ἅμα οἱ αὐτοὶ οὗτοι καὶ ἀξιοθέατοι δοκοῦσιν εἶναι καὶ » ἀξιάκουστοι. Καὶ στρατιά γε, » ἔφην ἐγὼ « ὦ γύναι, ἄτακτος μὲν » οὖσα ταραχωδέστατον, καὶ τοῖς μὲν πολεμίοις εὐχειρωτότατον, » τοῖς δὲ φίλοις ἀηδέστατον ὁρᾶν καὶ ἀχρηστότατον, ὄνος ὁμοῦ, » ὁπλίτης, σκευοφόρος, ψιλός, ἱππεύς, ἅμαξα. Πῶς γὰρ ἂν πορευ- » θεῖεν, ἐὰν ἔχοντες οὕτως ἐπικωλύσωσιν ἀλλήλους, ὁ μὲν βαδίζων » τὸν τρέχοντα, ὁ δὲ τρέχων τὸν ἑστηκότα, ἡ δὲ ἅμαξα τὸν ἱππέα, » ὁ δὲ ὄνος τὴν ἅμαξαν, ὁ δὲ σκευοφόρος τὸν ὁπλίτην; Εἰ δὲ καὶ » μάχεσθαι δέοι, πῶς ἂν οὕτως ἔχοντες μαχέσαιντο; οἷς γὰρ

---

34. Ἔσει. Cf. la note 17 de la page 246.
Ch. VIII. 1. Ἐκ τούτων, à la suite de ces paroles.
2. Αὕτη, au fém. à cause de πενία; même sens que τοῦτο: τοῦτό ἐστι πενία σαφής, τὸ κτλ.
3. Cf. page 252, note 32.
4. Ἀλλ' ἐγώ, c'est moi qui.

»ἀνάγκη αὐτῶν(5) τοὺς ἐπιόντας φεύγειν, οὗτοι ἱκανοί εἰσι
»φεύγοντες καταπατῆσαι τοὺς ὅπλα ἔχοντας. Τεταγμένη δὲ
»στρατιὰ κάλλιστον μὲν ἰδεῖν τοῖς φίλοις, δυσχερέστατον δὲ τοῖς
»πολεμίοις. Τίς μὲν γὰρ οὐκ ἂν φίλος ἡδέως θεάσαιτο ὁπλί-
»τας πολλοὺς ἐν τάξει πορευομένους, τίς δ' οὐκ ἂν θαυμάσειεν
»ἱππέας κατὰ τάξεις ἐλαύνοντας, τίς δ' οὐκ ἂν πολέμιος φοβη-
»θείη ἰδὼν διηυκρινημένους ὁπλίτας, ἱππέας, πελταστὰς, τοξό-
»τας, σφενδονήτας, καὶ τοῖς ἄρχουσι τεταγμένως ἑπομένους;
»Ἀλλὰ καὶ πορευομένων ἐν τάξει, κἂν πολλαὶ μυριάδες ὦσιν,
»ὁμοίως, ὥσπερ εἷς ἕκαστος, καθ' ἡσυχίαν πάντες πορεύον-
»ται· εἰς γὰρ τὸ κενούμενον ἀεὶ(6) οἱ ὄπισθεν ἐπέρχονται. Καὶ
»τριήρης δέ τοι ἡ σεσαγμένη ἀνθρώπων διὰ τί ἄλλο φοβερόν
»ἐστι πολεμίοις ἢ φίλοις ἀξιοθέατον ἢ ὅτι ταχὺ πλεῖ; Διὰ τί
»δὲ ἄλλο ἄλυποι ἀλλήλοις εἰσὶν οἱ ἐμπλέοντες ἢ διότι ἐν τάξει
»μὲν κάθηνται, ἐν τάξει δὲ προνεύουσιν, ἐν τάξει δ' ἀναπίπτουσιν,
»ἐν τάξει δ' ἐμβαίνουσι καὶ ἐκβαίνουσιν; Ἡ δ' ἀταξία ὅμοιόν τί μοι
»δοκεῖ εἶναι οἷόνπερ εἰ γεωργὸς ὁμοῦ ἐμβάλοι κριθὰς καὶ πυροὺς
»καὶ ὄσπρια· κἄπειτα, ὁπότε δέοι ἢ μάζης ἢ ἄρτου ἢ ὄψου(7), δια-
»λέγειν δέοι αὐτῷ ἀντὶ τοῦ λαβόντα διηυκρινημένοις χρῆσθαι.
»Καὶ σὺ οὖν, ὦ γύναι, εἰ τοῦ μὲν ταράχου τούτου μὴ δέοιο, βού-
»λοιο δ' ἀκριβῶς διοικεῖν τὰ ὄντα εἰδέναι, καὶ τῶν ὄντων εὐπό-
»ρως λαμβάνουσα ὅτῳ ἂν δέῃ χρῆσθαι, καὶ ἐμοὶ, ἐάν τι αἰτῶ,
»ἐν χάριτι διδόναι, χώραν τε δοκιμασώμεθα τὴν προσήκουσαν
»ἑκάστοις ἔχειν(8) καὶ, ἐν ταύτῃ θέντες, διδάξωμεν τὴν διάκονον
»λαμβάνειν τε ἐντεῦθεν καὶ κατατιθέναι πάλιν εἰς ταύτην· καὶ
»οὕτως εἰσόμεθα τά τε σᾶ(9) ὄντα καὶ τὰ μή(10)· ἡ γὰρ χώρα
»αὐτὴ τὸ μὴ ὂν ποθήσει, καὶ τὸ δεόμενον θεραπείας ἐξετάσει ἡ
»ὄψις, καὶ τὸ εἰδέναι ὅπου ἕκαστόν ἐστι ταχὺ ἐγχειριεῖ(11), ὥστε
»μὴ ἀπορεῖν χρῆσθαι.»

---

5. *Οἷς αὐτῶν*, ceux d'entre eux pour qui. — Il s'agit du train, de la cavalerie et des troupes légères, par opposition aux hoplites (*οἱ ὅπλα ἔχοντες*).

6. *Τὸ κενούμενον ἀεί*, le vide qui se produit chaque fois que les soldats du rang précédent avancent une jambe. — *Ἀεί*, qui se produit sans cesse.

7. *Μάζα*, sorte de galette faite d'orge; le pain se faisait de pur froment; *ὄψον*, un plat: il s'agit ici d'un plat de fèves, de pois ou d'autres légumineuses.

8. *Τὴν προσηκοῦσαν ἑκάστοις ἔχειν*, celle qu'il est convenable pour chaque chose d'avoir.

9. *Σᾶ*. Voy. p. 255, n. 4.

10. *Καὶ τὰ μή*, comme *καὶ εἴ τινα μὴ σᾶ ἐστι*, ce qui explique l'emploi de *μή* (et non de *οὐ*).

11. *Ἐγχειριεῖ*. Les Attiques, pour les verbes, à trois ou plus de trois

« Καλλίστην δέ ποτε καὶ ἀκριβεστάτην ἔδοξα σκευῶν τάξιν ἰδεῖν, ὦ Σώκρατες, εἰσβὰς ἐπὶ θέαν εἰς τὸ μέγα πλοῖον τὸν Φοινικικόν (12). Πλεῖστα γὰρ σκεύη ἐν σμικροτάτῳ ἀγγείῳ διακεχωρισμένα ἐθεασάμην. Διὰ πολλῶν μὲν γὰρ δήπου » ἔφη « ξυλίνων σκευῶν (13) καὶ πλεκτῶν ὁρμίζεται ναῦς καὶ ἀνάγεται, διὰ πολλῶν δὲ τῶν κρεμαστῶν καλουμένων πλεῖ, πολλοῖς δὲ μηχανήμασιν (14) ἀνθώπλισται πρὸς τὰ πολέμια πλοῖα, πολλὰ δὲ ὅπλα τοῖς ἀνδράσι συμπεριάγει, πάντα δὲ σκεύη ὅσοισπερ ἐν οἰκίᾳ χρῶνται ἄνθρωποι τῇ συσσιτίᾳ ἑκάστῃ κομίζει· γέμει δὲ παρὰ πάντα φορτίων ὅσα ναύκληρος κέρδους ἕνεκα ἄγεται. Καὶ ὅσα λέγω » ἔφη « ἐγώ, πάντα οὐκ ἐν πολλῷ τινι μείζονι χώρᾳ ἔκειτο ἢ ἐν δεκακλίνῳ στέγῃ συμμέτρῳ (15). Καὶ οὕτω κείμενα ἕκαστα κατενόησα ὡς οὔτε ἄλληλα ἐμποδίζει οὔτε μαστευτοῦ δεῖται οὔτε ἀσυσκεύαστά ἐστιν οὔτε δυσλύτως ἔχει, ὥστε διατριβὴν παρέχειν, ὅταν τῳ ταχὺ δέῃ χρῆσθαι. Τὸν δὲ τοῦ κυβερνήτου διάκονον, ὃς πρῳρεὺς τῆς νεὼς καλεῖται, οὕτως ηὗρον ἐπιστάμενον ἑκάστων τὴν χώραν ὡς καὶ ἀπὼν ἂν εἴποι ὅπου ἕκαστα κεῖται καὶ ὁπόσα ἐστὶν, οὐδὲν ἧττον ἢ ὁ γράμματα ἐπιστάμενος εἴποι ἂν Σωκράτους καὶ ὁπόσα γράμματα καὶ ὅπου ἕκαστον τέτακται. Εἶδον δὲ » ἔφη ὁ Ἰσχόμαχος « καὶ ἐξετάζοντα τοῦτον αὐτὸν ἐν τῇ σχολῇ πάντα ὁπόσοις ἄρα δεῖ ἐν τῷ πλῷ χρᾶσθαι. Θαυμάσας δὲ » ἔφη « τὴν ἐπίσκεψιν αὐτοῦ ἠρόμην τί πράττοι. Ὁ δ' εἶπεν· « Ἐπισκοπῶ, » ἔφη « ὦ ξένε, εἴ τι » συμβαίνοι γίγνεσθαι, πῶς κεῖται » ἔφη « τὰ ἐν τῇ νηί, εἴ τι ἀπο» στατεῖ ἢ εἰ δυστραπέλως τι σύγκειται. Οὐ γὰρ » ἔφη « ἐγχωρεῖ, » ὅταν χειμάζῃ ὁ θεὸς ἐν τῇ θαλάττῃ, οὔτε μαστεύειν ὅτου ἂν δέῃ » οὔτε δυστραπέλως ἔχον διδόναι. Ἀπειλεῖ γὰρ ὁ θεὸς καὶ κολάζει » τοὺς βλᾶκας· ἐὰν δὲ μόνον μὴ ἀπολέσῃ τοὺς μὴ ἁμαρτάνοντας, πάνυ

---

syllabes, en ίζω, emploient régulièrement, au lieu de la forme commune en ίσω, le futur contracte en ιῶ.

12. *Πλοῖον τὸ Φοινικικόν*. Ischomachos parle évidemment d'un certain vaisseau, bien connu alors dans le port d'Athènes, qui, sans doute, faisait un service régulier entre une autre contrée et Athènes.

13. *Σκευῶν*, les agrès, c'est-à-dire dans un vaisseau tout ce qui n'est pas la coque. Ils se divisent ordinairement en *σκεύη ξύλινα*, à savoir les rames, avirons, gouvernails, mâts, vergues, etc., et en *σκεύη κρεμαστά*, voiles, cordages, ancres, etc. Dans le texte ci-dessus, les cordages sont désignés par l'expression spéciale de *σκεύη πλεκτά*.

14. *Μηχανήμασιν*, engins de guerre.

15. *Δεκακλίνῳ στέγῃ συμμέτρῳ*. On traduit généralement: « salle à manger ordinaire à dix lits. » Nous entendons autrement: *Δεκάκλινος*, de la contenance de 10 *κλίναι*, soit 100 coudées carrées ou 25 mètres carrés. *Στέγη*, salle ou étage; *συμμέτρῳ*, bien proportionné.

»ἀγαπητόν· ἐὰν δὲ καὶ πάνυ καλῶς ὑπηρετοῦντας σώζῃ, πολ
»χάρις» ἔφη «τοῖς θεοῖς(16).»
«Ἐγὼ οὖν κατιδὼν ταύτην τὴν ἀκρίβειαν τῆς κατασκευῆς ἔλεγ
»τῇ γυναικὶ ὅτι «Πάνυ ἂν ἡμῶν εἴη βλακικόν, εἰ οἱ μὲν ἐν το
»πλοίοις καὶ μικροῖς οὖσι χώρας εὑρίσκουσι, καὶ σαλεύοντες ἰσχ
»ρῶς ὅμως σώζουσι τὴν τάξιν, καὶ ὑπερφοβούμενοι ὅμως εὑρ
»σκουσι τὸ δέον λαμβάνειν, ἡμεῖς δὲ καὶ διῃρημένων ἑκάστο
»θηκῶν ἐν τῇ οἰκίᾳ μεγάλων καὶ βεβηκυίας τῆς οἰκίας ἐν δαπέδ
»μὴ εὑρήσομεν καλὴν καὶ εὐεύρετον χώραν ἑκάστοις αὐτῶν.
»μὲν δὴ ἀγαθὸν τετάχθαι σκευῶν κατασκευήν, καὶ ὡς ῥᾴδι
»χώραν ἑκάστοις αὐτῶν εὑρεῖν ἐν οἰκίᾳ θεῖναι(17) ὡς ἑκάστ
»συμφέρει, εἴρηται· ὡς(18) δὲ καλὸν φαίνεται, ἐπειδὰν ὑποδήμα
»ἐφεξῆς κέηται, κἂν ὁποῖα ᾖ(19), καλὸν δὲ ἱμάτια κεχωρισμέ
»ἰδεῖν, κἂν ὁποῖα ᾖ, καλὸν δὲ στρώματα, καλὸν δὲ χαλκία, κα
»δὲ τὰ ἀμφὶ τραπέζας, καλὸν δὲ καὶ — ὃ πάντων καταγελάσε
»ἂν μάλιστα οὐχ ὁ σεμνὸς, ἀλλ' ὁ κομψὸς, ὅτι καὶ χύτρας φ
»εὔρυθμον φαίνεσθαι εὐκρινῶς κειμένας. Τὰ δὲ ἄλλα ἤδη π
»ἀπὸ τούτου(20) ἅπαντα καλλίω φαίνεται. Χορὸς γὰρ σκευ
»ἕκαστα φαίνεται, κατὰ κόσμον κείμενα(21). Καὶ τὸ μέσον δὲ τ
»των καλὸν φαίνεται, ἐκποδὼν ἑκάστου κειμένου· ὥσπερ κύκλ
»χορὸς(22) οὐ μόνον αὐτὸς καλὸν θέαμά ἐστιν, ἀλλὰ καὶ τὸ μέσ
»αὐτοῦ καλὸν καὶ καθαρὸν φαίνεται. Εἰ δ' ἀληθῆ ταῦτα λέ
»ἔξεστιν,» ἔφην «ὦ γύναι, καὶ πεῖραν λαμβάνειν αὐτῶν οὔτε
»ζημιωθέντας οὔτε πολλὰ πονήσαντας. Ἀλλὰ μὴν οὐδὲ τοῦτο
»ἀθυμῆσαι, ὦ γύναι,» ἔφην ἐγὼ «ὡς χαλεπὸν εὑρεῖν τὸν μα
»σόμενόν(23) τε τὰς χώρας καὶ μεμνησόμενον καταχωρίζειν ἕκασ
»Ἴσμεν γὰρ δήπου ὅτι μυριοπλάσια ἡμῶν(24) ἅπαντα ἔχει ἡ πᾶ
»πόλις, ἀλλ' ὅμως ὁποῖον ἂν τῶν οἰκετῶν κελεύσῃς πριάμενόν

---

16. *Ὁ θεὸς — τοῖς θεοῖς.* Le dieu dont parle le pilote, qui fait tempête sur la mer, qui menace et châtie les négligents, qui sauve ce qui ont bien rempli leur devoir de matelots, apparaît ici comme un «gé des mers» subordonné à la puissance «des dieux.»

17. *Χώραν . . . . θεῖναι*, un endroit *pour les* placer.

18. *Ὡς κτλ. quam pulchrum!*

19. *Κἂν ὁποῖα ᾖ = καὶ ὁποῖα ἂν ᾖ*, quelles qu'elles soient.

20. *Ἀπὸ τούτου*, par le fait d'être *εὐκρινῶς κείμενα.*

21. *Ἕκαστα*, toute espèce de choses. — *Κατὰ κόσμον κείμενα*, qu elles sont mises en ordre. De même à la ligne suivante, *ἐκποδὼν ἑκάσ κειμένου*, quand chaque objet est à distance (du centre).

22. *Κύκλιος χορός.* Les chœurs cycliques étaient formés soit d'homm soit d'enfants, chantant en rond autour de l'autel d'une divinité.

23. Cf. la n. 26 de la p. 261.

24. *Μυριοπλάσια ἡμῶν* équivaut à *μυριοπλάσια ἢ ἡμεῖς.*

» σοι ἐξ ἀγορᾶς ἐνεγκεῖν, οὐδεὶς ἀπορήσει, ἀλλὰ πᾶς εἰδὼς φα-» νεῖται ὅποι χρὴ ἐλθόντα λαβεῖν ἕκαστα. Τούτου μέντοι» ἔφην ἐγὼ «οὐδὲν ἄλλο αἴτιόν ἐστιν ἢ ὅτι ἐν χώρᾳ κεῖται τεταγμένη. » Ἄνθρωπον δέ γε ζητῶν, καὶ ταῦτα ἐνίοτε ἀντιζητοῦντα, πολ-» λάκις ἂν τις πρότερον πρὶν εὑρεῖν ἀπείποι. Καὶ τούτου αὖ » οὐδὲν ἄλλο αἴτιόν ἐστιν ἢ τὸ μὴ εἶναι τεταγμένον ὅπου ἕκαστον » δεῖ ἀναμένειν.»

« Περὶ μὲν δὴ τάξεως σκευῶν καὶ χρήσεως τοιαῦτα αὐτῇ δια-λεχθεὶς δοκῶ μεμνῆσθαι.»

CHAPITRE IX.

Σ. « Καὶ τί δή; Ἡ γυνὴ ἐδόκει σοι, » ἔφην ἐγὼ « ὦ Ἰσχόμαχε, πῶς τι ὑπακούειν ὧν σὺ ἐσπούδαζες διδάσκων;»

Ι. « Τί δέ, εἰ μὴ ὑπισχνεῖτό γε(1) ἐπιμελήσεσθαι καὶ φανερὰ ἦν ἡδομένη ἰσχυρῶς, ὥσπερ ἐξ ἀμηχανίας εὐπορίαν τινὰ ηὑρη-κυῖα, καὶ ἐδεῖτό μου ὡς τάχιστα ᾗπερ ἔλεγον διατάξαι.»

Σ. « Καὶ πῶς δή» ἔφην ἐγὼ « ὦ Ἰσχόμαχε, διέταξας αὐτῇ ;»

Ι. « Τί δέ, εἰ μὴ τῆς οἰκίας τὴν δύναμιν γ' ἔδοξέ μοι πρῶτον ἐπιδεῖξαι αὐτῇ. Οὐ γὰρ ποικίλμασι κεκόσμηται, ὦ Σώκρατες, ἀλλὰ τὰ οἰκήματα ᾠκοδόμηται πρὸς αὐτὸ τοῦτο ἐσκεμμένα (2) ὅπως ἀγγεῖα ὡς συμφορώτατα ᾖ τοῖς μέλλουσιν ἐν αὐτοῖς ἔσεσθαι, ὥστε αὐτὰ ἐκάλει τὰ πρέποντα ἑνὶ ἑκάστῳ. Ὁ μὲν γὰρ θάλαμος ἐν ὀχυρῷ ὢν τὰ πλείστου ἄξια καὶ στρώματα καὶ σκεύη παρεκάλει, τὰ δὲ ξηρὰ τῶν στεγνῶν τὸν σῖτον, τὰ δὲ ψυχεινὰ τὸν οἶνον, τὰ δὲ φανὰ ὅσα φάους δεόμενα ἔργα τε καὶ σκεύη ἐστί. Καὶ διαιτητήρια δὲ τοῖς ἀνθρώποις ἐπεδείκνυον αὐτῇ κεκαλλωπισμένα τοῦ μὲν θέρους ψυχεινά, τοῦ δὲ χειμῶνος ἀλεεινά (3). Καὶ σύμπασαν δὲ τὴν οἰκίαν ἐπέδειξα αὐτῇ ὅτι πρὸς μεσημβρίαν ἀναπέπταται (4), ὥστε εὔδηλον εἶναι ὅτι χειμῶνος μὲν εὐειλός ἐστι, τοῦ δὲ θέρους εὔσκιος. Ἔδειξα δὲ καὶ τὴν γυναικωνῖτιν αὐτῇ, θύρᾳ βαλανωτῇ (5)

Ch. IX. 1.] *Τί δέ, εἰ μή... γε*, et quoi, et qu'arriva-t-il, sinon que...?
2. *Πρὸς αὐτὸ τοῦτο ἐσκεμμένα*, étudiées, calculées en vue de ceci.
3. Phrase évidemment altérée.
4. *Πρὸς μεσημβρίαν ἀναπέπταται*, s'ouvre au midi. C'est-à-dire que la façade principale était au midi: les fenêtres, fermées uniquement par des volets de bois, s'ouvraient en dehors. En laissant les volets fermés, l'été, pendant la chaleur, on conservait la fraîcheur dans les appartements; on les ouvrait l'hiver, quand il faisait soleil.
5. *Θύρᾳ βαλανωτῇ*, porte fermée avec un *βάλανος*, nous dirions *à clef*. — Une traverse horizontale (*μοχλός*), fixée au battant de la porte et le

αὐτῶν καὶ ἀπαριθμήσαντες καὶ γραψάμενοι ἕκαστα, εἴπομεν αὐτῇ διδόναι τούτων ὅτῳ δέοι ἕκαστον, καὶ μεμνῆσθαι ὅ τι ἂν τῳ διδῷ, καὶ ἀπολαμβάνουσαν κατατιθέναι πάλιν ὅθενπερ ἂν ἕκαστα λαμβάνῃ.

«Τὴν δὲ ταμίαν ἐποιησάμεθα ἐπισκεψάμενοι ἥτις ἡμῖν ἐδόκει εἶναι ἐγκρατεστάτη καὶ γαστρὸς καὶ οἴνου καὶ ὕπνου καὶ ἀνδρῶν συνουσίας, πρὸς τούτοις δὲ ἣ τὸ μνημονικὸν μάλιστα ἐδόκει ἔχειν, καὶ τὸ προνοεῖν[13] μή τι κακὸν λάβῃ παρ' ἡμῶν ἀμελοῦσα, καὶ σκοπεῖν ὅπως χαριζομένη τι ἡμῖν ὑφ' ἡμῶν ἀντιτιμήσεται. Ἐδιδάσκομεν δὲ αὐτὴν καὶ εὐνοϊκῶς ἔχειν πρὸς ἡμᾶς, ὅτ' εὐφραινοίμεθα, τῶν εὐφροσυνῶν μεταδιδόντες, καὶ εἴ τι λυπηρὸν εἴη, εἰς ταῦτα παρακαλοῦντες. Καὶ τὸ προθυμεῖσθαι δὲ συναύξειν τὸν οἶκον ἐπαιδεύομεν αὐτήν, ἐπιγιγνώσκειν αὐτὴν ποιοῦντες καὶ τῆς εὐπραγίας αὐτῇ μεταδιδόντες. Καὶ δικαιοσύνην δ' αὐτῇ ἐνεποιοῦμεν, τιμιωτέρους τιθέντες[14] τοὺς δικαίους τῶν ἀδίκων καὶ ἐπιδεικνύοντες πλουσιώτερον καὶ ἐλευθεριώτερον βιοτεύοντας τῶν ἀδίκων· καὶ αὐτὴν δὲ ἐν ταύτῃ τῇ χώρᾳ κατετάττομεν. Ἐπὶ δὲ τούτοις πᾶσιν εἶπον,» ἔφη «ὦ Σώκρατες, ἐγὼ τῇ γυναικὶ ὅτι πάντων τούτων οὐδὲν ὄφελος, εἰ μὴ αὐτὴ ἐπιμελήσεται ὅπως διαμενεῖ ἑκάστῳ ἡ τάξις. Ἐδίδασκον δὲ αὐτὴν ὅτι καὶ ἐν ταῖς εὐνομουμέναις πόλεσιν οὐκ ἀρκεῖν δοκεῖ τοῖς πολίταις, ἢν νόμους καλοὺς γράψωνται, ἀλλὰ καὶ νομοφύλακας προσαιροῦνται, οἵτινες ἐπισκοποῦντες τὸν μὲν ποιοῦντα τὰ νόμιμα ἐπαινοῦσιν, ἢν δέ τις παρὰ τοὺς νόμους ποιῇ, ζημιοῦσι. Νομίσαι οὖν ἐκέλευον» ἔφη «τὴν γυναῖκα καὶ αὐτὴν νομοφύλακα τῶν ἐν τῇ οἰκίᾳ εἶναι, καὶ ἐξετάζειν δέ, ὅταν δόξῃ αὐτῇ, τὰ σκεύη, ὥσπερ ὁ φρούραρχος τὰς φυλακὰς[15] ἐξετάζει, καὶ δοκιμάζειν εἰ καλῶς ἕκαστον ἔχει, ὥσπερ ἡ βουλὴ ἵππους καὶ ἱππέας δοκιμάζει, καὶ ἐπαινεῖν δὲ καὶ τιμᾶν, ὥσπερ βασίλισσαν, τὸν ἄξιον ἀπὸ τῆς παρούσης δυνάμεως, καὶ λοιδορεῖν καὶ κολάζειν τὸν τούτων[16] δεόμενον. Πρὸς δὲ τούτοις ἐδίδασκον αὐτὴν» ἔφη «ὡς οὐκ ἂν ἄχθοιτο δικαίως εἰ πλείω αὐτῇ πράγματα προστάττω ἢ τοῖς οἰκέταις περὶ τὰ κτήματα, ἐπιδεικνύων ὅτι τοῖς μὲν οἰκέταις μέτεστι τῶν δεσποσύνων χρημάτων τοσοῦτον ὅσον φέρειν ἢ θεραπεύειν ἢ φυλάττειν, χρῆ-

13. *Τὸ προνοεῖν . . . καὶ σκοπεῖν*, régime de *ἔχειν* (comme *τὸ μνημονικόν*).

14. *Τιμιωτέρους τιθέντες*, ionisme pour *διὰ πλείονος τιμῆς ἄγοντες* ou *ἔχοντες*.

15. *Τὰς φυλακάς*. V. p. 259, n. 11.

16. *Τούτων*, c.-à.-d. *τοῦ λοιδορεῖσθαι καὶ τοῦ κολάζεσθαι*.

εἶναι ἢ ἦν, πολλῇ δ' ἐγχούσῃ (5), ὅπως ἐρυθροτέρα φαίνοιτο τῆς ἀληθείας, ὑποδήματα δ' ἔχουσαν ὑψηλά, ὅπως μείζων δοκοίη εἶναι ἢ ἐπεφύκει,

«*Εἰπέ μοι,*» ἔφην «ὦ γύναι, ποτέρως ἄν με κρίναις ἀξιοφί»λητον μᾶλλον εἶναι χρημάτων κοινωνόν, εἴ σοι αὐτὰ τὰ ὄντα »ἀποδεικνύοιμι καὶ μήτε κομπάζοιμι ὡς πλείω τῶν ὄντων ἔστι »μοι, μήτε ἀποκρυπτοίμην τῶν ὄντων μηδέν, ἢ εἰ πειρῴμην τέ »σε ἐξαπατᾶν λέγων ὡς πλείω ἔστι μοι τῶν ὄντων, ἐπιδεικνὺς τε »ἀργύριον κίβδηλον δολοίην σε καὶ ὅρμους ὑποξύλους, καὶ πορ»φυρίδας ἐξιτήλους φαίην ἀληθινὰς εἶναι;»

«Καὶ ὑπολαβοῦσα εὐθύς·

ΓΥΝΗ. «Εὐφήμει·» ἔφη «μὴ γένοιο σὺ τοιοῦτος· οὐ γὰρ ἂν »ἔγωγέ σε δυναίμην, εἰ τοιοῦτος εἴης, ἀσπάσασθαι ἐκ τῆς ψυχῆς.»

Ι. «Οὐκοῦν» ἔφην ἐγὼ «συνεληλύθαμεν, ὦ γύναι, ὡς καὶ τῶν »σωμάτων κοινωνήσοντες ἀλλήλοις;»

ΓΥΝΗ. «Φασὶ γοῦν» ἔφη «οἱ ἄνθρωποι.»

Ι. «Ποτέρως ἂν οὖν» ἔφην ἐγὼ «τοῦ σώματος αὖ δοκοίην εἶναι »ἀξιοφίλητος μᾶλλον κοινωνός, εἴ σοι τὸ σῶμα πειρῴμην παρέ»χειν τὸ ἐμαυτοῦ ἐπιμελόμενος ὅπως ὑγιαινόν τε καὶ ἐρρωμένον »ἔσται, καὶ διὰ ταῦτα τῷ ὄντι εὔχρως σοι ἔσομαι, ἢ εἴ σοι »μίλτῳ (6) ἀλειφόμενος καὶ τοὺς ὀφθαλμοὺς ὑπαλειφόμενος ἀν»δρεικέλῳ ἐπιδεικνύοιμί τε ἐμαυτὸν καὶ συνείην ἐξαπατῶν σε καὶ »παρέχων ὁρᾶν καὶ ἅπτεσθαι μίλτου ἀντὶ τοῦ ἐμαυτοῦ χρωτός;»

ΓΥΝΗ. «Ἐγὼ μὲν» ἔφη ἐκείνη «ουτ' ἂν μίλτου ἁπτοίμην ἥδιον »ἢ σοῦ, οὔτ' ἂν ἀνδρεικέλου χρῶμα ὁρῴην ἥδιον ἢ τὸ σόν, οὔτ' »ἂν τοὺς ὀφθαλμοὺς ὑπαληλιμμένους ἥδιον ὁρῴην τοὺς σοὺς ἢ »ὑγιαίνοντας.»

Ι. «Καὶ ἐμὲ τοίνυν νόμιζε,» εἰπεῖν ἔφη ὁ Ἰσχόμαχος «ὦ γύναι, »μήτε ψιμυθίου μήτε ἐγχούσης χρώματι ἥδεσθαι μᾶλλον ἢ τῷ »σῷ, ἀλλ' ὥσπερ οἱ θεοὶ ἐποίησαν ἵπποις μὲν ἵππους, βουσὶ δὲ »βοῦς ἥδιστον, προβάτοις δὲ πρόβατα, οὕτω καὶ οἱ ἄνθρωποι »ἀνθρώπου σῶμα καθαρὸν οἴονται ἥδιστον εἶναι· αἱ δ' ἀπάται »αὗται τοὺς μὲν ἔξω πως δύναιντ' ἂν ἀνεξελέγκτως ἐξαπατᾶν,

---

5. Ἐγχούσῃ, orcanète, nom que portent deux plantes de la famille des Borraginées, la Buglosse teignante (*Anchusa tinctoria*) et le Grémil des teinturiers (*Lithospermum tinctorium*). L'une et l'autre renferment dans la portion corticale de la racine un principe colorant. La buglosse fournit une jolie couleur vermeille, peu tenace; le grémil, un principe colorant d'un blanc rouge. Les dames grecques ou romaines qui se fardaient ne connaissaient pas d'autre *rouge* que ces deux substances végétales.

6. *Μίλτῳ*, minium (oxyde rouge de plomb).

σθαι δὲ οὐδ… ἂν ἐπιχειρῶσιν ἐξαπατᾶν … ἐξανιστάμεναι πρὶν … λέγχονται ἢ ὑπὸ δακρύων … ἐπένθησαν.»

… «πρὸς ταῦτα ἀπεκρίνατο:» … λοιποῦ γε τοιοῦτον μὲν οὐδὲ … καθαρὰν δὲ καὶ πρεπόντως ἔχο… Καὶ ἐμὲ μέντοι ἠρώτα εἴ … ὄντι καλὴ φαίνοιτο, ἀλλὰ μὴ … ὦ Σώκρατες,» ἔφη «συνεβο… … αὐτῆσθαι, ἀλλὰ σὺν τοῖς θεοῖς … τὸν ἱστὸν προσστᾶσαν ὅ τι … διδάξαι. ὅ τι δὲ χεῖρον ἐπιμαθε… … παραστῆναι δὲ καὶ ἀποι… … δὲ καὶ ἐπισκοπουμένην εἰ κα… … Ταῦτα γὰρ ἐδόκει μοι ἅμα ἐπι… … ἀγαθὸν δὲ ἔφην εἶναι γυμνάσιον … … καὶ στρώματα ἀνασεῖσαι καὶ … … ἔφην οὕτως ἂν(9) καὶ ἐσθίειν ἥδι… … χρωτέραν φαίνεσθαι τῇ ἀληθείᾳ. «Κ… … (10) διακόνῳ καθαρωτέρα οὖ… … κινητικὸν γίγνεται, ἄλλως … … (11) προσῇ ἀντὶ τοῦ ἀνα… … Αἱ δ' ἀεὶ καθήμεναι σεμνῶς πρὸς … … κρίνεσθαι παρέχουσιν ἑαυτάς. … Σώκρατες, οὕτως εὖ ἴσθι, ἡ γυνή μου κατε… … ὥσπερ ἐγὼ ἐδίδασκον αὐτὴν καὶ ὥσπερ νῦ…

CHAPITRE XI.

… περὶ τῶν τῆς γυναικὸς ἔργων ἱκα-

… comme s'il y avait καθ' ἣν. Les Grecs … C'est comme s'il y avait: εἰ γυμνάζοιτο …

νῶς μοι δοκῶ ἀκηκοέναι τὴν πρώτην[1], καὶ ἄξιά γε πάνυ ἐπαίνου ἀμφοτέρων ὑμῶν[2]· τὰ δ' αὖ σὰ ἔργα» ἔφην ἐγὼ «ἤδη μοι λέγε, ἵνα σύ τε ἐφ' οἷς εὐδοκιμεῖς διηγησάμενος ἡσθῇς, κἀγὼ τὰ τοῦ καλοῦ κἀγαθοῦ ἀνδρὸς ἔργα τελέως διακούσας καὶ καταμαθών, ἢν δύνωμαι, πολλήν σοι χάριν εἰδῶ.

Ι. «Ἀλλά, νὴ Δί',» ἔφη ὁ Ἰσχόμαχος «καὶ πάνυ ἡδέως σοι, ὦ Σώκρατες, διηγήσομαι ἃ ἐγὼ ποιῶν διατελῶ, ἵνα καὶ μεταρρυθμίσῃς με, ἐάν τί σοι δοκῶ μὴ καλῶς ποιεῖν.»

Σ. «Ἀλλ' ἐγὼ μὲν δὴ» ἔφην «πῶς ἂν δικαίως μεταρρυθμίσαιμι ἄνδρα ἀπειργασμένον καλόν τε κἀγαθόν, καὶ ταῦτα ὢν ἀνὴρ ὃς ἀδολεσχεῖν τε δοκῶ καὶ ἀερομετρεῖν καί, τὸ πάντων δὴ ἀνοητότατον δοκοῦν εἶναι ἔγκλημα, πένης καλοῦμαι. Καὶ πάνυ μεντἂν, ὦ Ἰσχόμαχε, ἦν ἐν πολλῇ ἀθυμίᾳ τῷ ἐπικλήματι τούτῳ[3], εἰ μὴ πρῴην ἀπαντήσας τῷ Νικίου[4] τοῦ ἐπηλύτου ἵππῳ εἶδον πολλοὺς ἀκολουθοῦντας αὐτῷ θεατάς, πολὺν δὲ λόγον ἐχόντων τινῶν περὶ αὐτοῦ ἤκουον· καὶ δῆτα ἠρόμην προσελθὼν τὸν ἱπποκόμον εἰ πολλὰ εἴη χρήματα τῷ ἵππῳ. Ὁ δὲ προσβλέψας με ὡς οὐδὲ ὑγιαίνοντα τῷ ἐρωτήματι[5] εἶπε· «Πῶς δ' ἂν ἵππῳ χρήματα γένοιτο;» Οὕτω δὴ ἐγὼ ἀνέκυψα ἀκούσας ὅτι ἐστὶν ἄρα θεμιτὸν καὶ πένητι ἵππῳ ἀγαθῷ γενέσθαι, εἰ τὴν ψυχὴν φύσει ἀγαθὴν ἔχοι. Ὡς οὖν θεμιτὸν καὶ ἐμοὶ ἀγαθῷ ἀνδρὶ γενέσθαι, διηγοῦ τελέως τὰ σὰ ἔργα, ἵνα, ὅ τι ἂν δύνωμαι ἀκούων καταμαθεῖν[6], πειρῶμαι καὶ ἐγὼ σε ἀπὸ τῆς αὔριον ἡμέρας ἀρξάμενος μιμεῖσθαι· καὶ γὰρ ἀγαθή ἐστιν» ἔφην ἐγὼ «ἡμέρα[7] ὡς ἀρετῆς ἄρχεσθαι.»

Ι. «Σὺ μὲν παίζεις,» ἔφη ὁ Ἰσχόμαχος «ὦ Σώκρατες, ἐγὼ δ' ὅμως σοι διηγήσομαι ἃ ἐγὼ ὅσον δύναμαι πειρῶμαι ἐπιτηδεύων διαπερᾶν τὸν βίον. Ἐπεὶ γὰρ καταμεμαθηκέναι δοκῶ ὅτι οἱ θεοὶ τοῖς ἀνθρώποις, ἄνευ μὲν τοῦ γιγνώσκειν τε ἃ δεῖ ποιεῖν καὶ ἐπιμελεῖσθαι ὅπως ταῦτα περαίνηται, οὐ θεμιτὸν ἐποίησαν εὖ

Ch. XI.] 1. *Τὴν πρώτην*, en premier lieu.
2. *Ἄξια ἐπαίνου ἀμφοτέρων ὑμῶν*, des choses telles que vous méritez tous les deux des louanges.
3. *Τῷ ἐπικλήματι τούτῳ*, à cause de cette appellation. Pour ce sens du datif, cf. ci-dessous, n. 5.
4. *Τῷ Νικίου.* On ne sait pas de quel personnage il est ici question.
5. *Προσβλέψας με τῷ ἐρωτήματι*, me regardant avec étonnement à cause de cette question.
6. *Ὅ τι . . . καταμαθεῖν*, en tout ce que je pourrai avoir appris en t'écoutant.
7. *Ἀγαθὴ ἡμέρα.* On sait que chez les anciens, certains jours valaient mieux que d'autres pour commencer quoi que ce fût.

πράττειν, φρονίμοις (8) δ' οὖσι καὶ ἐπιμελέσι τοῖς μὲν διδόασι
εὐδαιμονεῖν, τοῖς δ' οὔ, οὕτω δὴ ἐγὼ ἄρχομαι μὲν τοὺς θεοὺ
θεραπεύων, πειρῶμαι δὲ ποιεῖν ὡς ἂν θέμις ᾖ μοι εὐχομένῳ κα
ὑγιείας τυγχάνειν καὶ ῥώμης σώματος καὶ τιμῆς ἐν πόλει καὶ εὐ
νοίας ἐν φίλοις καὶ ἐν πολέμῳ καλῆς σωτηρίας καὶ πλούτου κα
λῶς αὐξομένου. »

Καὶ ἐγὼ ἀκούσας ταῦτα·

Σ. « Μέλει γὰρ (9) δή σοι, ὦ Ἰσχόμαχε, ὅπως πλουτῇς κα
πολλὰ χρήματα ἔχων πολλὰ ἔχῃς πράγματα (10) τούτων ἐπιμε
λόμενος; »

I. « Καὶ πάνυ γ' » ἔφην ὁ Ἰσχόμαχος « μέλει μοι τούτων ὧ
ἐρωτᾷς· ἡδὺ γάρ μοι δοκεῖ, ὦ Σώκρατες, καὶ θεοὺς μεγαλείως τ
μᾶν, καὶ φίλους, ἤν τινος δέωνται, ἐπωφελεῖν, καὶ τὴν πόλιν μ
δὲν τὸ κατ' ἐμὲ χρήμασιν ἀκόσμητον εἶναι. »

Σ. « Καὶ γὰρ καλά, » ἔφην ἐγὼ « ὦ Ἰσχόμαχε, ἐστὶν ἃ σὺ λέγει
καὶ δυνατοῦ γε ἰσχυρῶς ἀνδρός. Πῶς γὰρ οὔ, ὅτε πολλοὶ μ
εἰσὶν ἄνθρωποι οἳ οὐ δύνανται ζῆν ἄνευ τοῦ ἄλλων δεῖσθαι, πο
λοὶ δ' ἀγαπῶσιν ἢν δύνωνται τὰ ἑαυτοῖς ἀρκοῦντα πορίζεσθα
Οἱ δὲ δὴ δυνάμενοι μὴ μόνον τὸν ἑαυτῶν οἶκον διοικεῖν, ἀλλ
καὶ περιποιεῖν (11) ὥστε καὶ τὴν πόλιν κοσμεῖν καὶ τοὺς φίλου
ἐπικουφίζειν, πῶς τούτους (12) οὐχὶ βαθεῖς (13) τε καὶ ἐρρωμένου
ἄνδρας χρὴ νομίσαι; Ἀλλὰ γὰρ ἐπαινεῖν μὲν » ἔφην ἐγὼ « τοὺ
τοιούτους πολλοὶ δυνάμεθα· σὺ δέ μοι λέξον, ὦ Ἰσχόμαχε, ἀφ
ὧνπερ ἤρξω, πῶς ὑγιείας ἐπιμελεῖ (14); πῶς τῆς τοῦ σώματο
ῥώμης; πῶς θέμις εἶναί σοι (15) καὶ ἐκ πολέμου καλῶς σώζεσθαι
τῆς δὲ χρηματίσεως πέρι καὶ μετὰ ταῦτα » ἔφην ἐγὼ « ἀρκέσε
ἀκούειν. »

I. « Ἀλλ' ἔστι μέν, » ἔφη ὁ Ἰσχόμαχος « ὥς γε ἐμοὶ δοκεῖ, ὦ
Σώκρατες, ἀκόλουθα ταῦτα πάντα ἀλλήλων. Ἐπεὶ γὰρ ἐσθίειν τ
τὰ ἱκανὰ ἔχει, ἐκπονοῦντι μὲν ὀρθῶς μᾶλλον δοκεῖ μοι ἡ ὑγίει

---

8. *Οἱ φρόνιμοι* équivaut à *οἱ γιγνώσκοντες ἃ δεῖ ποιεῖν*. A l'autre term *ἐπιμελεῖσθαι ὅπως κτλ.* correspond ici *ἐπιμελέσι*.

9. *Γάρ* s'explique par quelque chose de sous-entendu, comme *τοῦτο δ θαυμάζω*, avant *μέλει γὰρ δή σοι*.

10. *Πράγματα ἔχειν*, avoir des embarras.

11. *Περιποιεῖν*. Voy. p. 252, n. 28.

12. *Οἱ δὲ δὴ δυνάμενοι . . ., πῶς τούτους*, anacoluthe.

13. *Βαθύς* se disait d'un homme riche et puissant.

14. *Ἐπιμελεῖ*. Sur les secondes personnes du moyen en *ει*, et non en voy. p. 246, n. 17.

15. *Θέμις*, sous-ent. *ἐστί*. — *Εἶναί σοι*, qu'il te soit donné de (comm s'il y avait, au lieu de *εἶναι*, *ἐξεῖναι*).

παραμένειν, ἐκπονοῦντι δὲ μᾶλλον ἡ ῥώμη προσγίγνεσθαι, ἀσκοῦντι δὲ τὰ τοῦ πολέμου κάλλιον σώζεσθαι, ὀρθῶς δὲ ἐπιμελομένῳ καὶ μὴ καταμαλακιζομένῳ μᾶλλον(16) εἰκὸς τὸν οἶκον αὔξεσθαι.»

Σ. «Ἀλλὰ μέχρι μὲν τούτου ἕπομαι,» ἔφην ἐγὼ «ὦ Ἰσχόμαχε, ὅτι ἐκπονοῦντα φῂς καὶ ἐπιμελόμενον καὶ ἀσκοῦντα ἄνθρωπον μᾶλλον τυγχάνειν τῶν ἀγαθῶν, ὁποίῳ δὲ πόνῳ χρῇ πρὸς τὴν εὐεξίαν καὶ ῥώμην καὶ ὅπως ἀσκεῖς τὰ τοῦ πολέμου καὶ ὅπως ἐπιμελεῖ(17) τοῦ περιουσίαν ποιεῖν ὡς καὶ φίλους ἐπωφελεῖν καὶ πόλιν ἐπισχύειν, ταῦτα ἂν ἡδέως» ἔφην ἐγὼ «πυθοίμην.»

Ι. «Ἐγὼ τοίνυν,» ἔφη «ὦ Σώκρατες,» ὁ Ἰσχόμαχος «ἀνίστασθαι μὲν ἐξ εὐνῆς εἴθισμαι ἡνίκ' ἂν ἔτι ἔνδον καταλαμβάνοιμι, εἴ τινα δεόμενος ἰδεῖν τυγχάνοιμι. Κἂν μέν τι κατὰ πόλιν δέῃ πράττειν, ταῦτα πραγματευόμενος περιπάτῳ τούτῳ χρῶμαι(18)· ἢν δὲ μηδὲν ἀναγκαῖον ᾖ κατὰ πόλιν, τὸν μὲν ἵππον ὁ παῖς προάγει εἰς ἀγρὸν, ἐγὼ δὲ περιπάτῳ χρῶμαι τῇ εἰς ἀγρὸν ὁδῷ ἴσως ἄμεινονι, ὦ Σώκρατες, ἢ εἰ ἐν τῷ ξυστῷ(19) περιπατοίην. Ἐπειδὰν δὲ ἔλθω εἰς ἀγρὸν, ἤν τέ μοι φυτεύοντες τυγχάνωσιν ἤν τε νειὸν ποιοῦντες(20) ἤν τε σπείροντες ἤν τε καρπὸν συγκομίζοντες, ταῦτα ἐπισκεψάμενος ὅπως ἕκαστα γίγνεται, μεταρρυθμίζω, ἐὰν ἔχω τι βέλτιον τοῦ παρόντος. Μετὰ δὲ ταῦτα ὡς τὰ πολλὰ ἀναβὰς ἐπὶ τὸν ἵππον ἱππασάμην(21) ἱππασίαν ὡς ἂν ἐγὼ δύνωμαι ὁμοιοτάτην ταῖς ἐν τῷ πολέμῳ ἀναγκαίαις ἱππασίαις, οὔτε πλαγίου οὔτε κατάντους οὔτε τάφρου οὔτε ὄχθου(22) ἀπεχόμενος· ὡς μέντοι δυνατὸν ταῦτα ποιοῦντι, ἐπιμέλομαι τοῦ μὴ ἀποχωλεῦσαι τὸν ἵππον. Ἐπειδὰν δὲ ταῦτα γένηται, ὁ παῖς ἐξαλίσας(23) τὸν ἵππον οἴκαδε ἀπάγει, ἅμα φέρων ἀπὸ τοῦ χώρου ἤν τι δεώμεθα

---

16. Μᾶλλον ici, comme les deux fois précédentes, tombe sur l'infinitif.
17. Ἐπιμελεῖ. Voy. la note 17 de la page 246.
18. Περιπάτῳ τούτῳ χρῶμαι, je me sers de cela *comme* promenade, j'en fais ma promenade.
19. Ξυστῷ. Les Athéniens allaient volontiers se promener en causant sous les galeries couvertes des gymnases, galeries appellées ξυστοί (ou δρόμοι).
20. Νειὸν ποιεῖν, préparer une terre à recevoir la semence. Les Grecs laissaient reposer la terre une année sur deux, ne la travaillant cette année-là que pour détruire les mauvaises herbes: c'est ce qui s'appelait νειὸν ποιεῖν.
21. Ἱππασάμην: aoriste exprimant l'habitude (cf. p. 288, n. 25).
22. Πλαγίου tombe sur τάφρου, κατάντους sur ὄχθου.
23. Ἐξαλίνδειν ἵππον, c'est faire rouler un cheval en sueur dans la poussière.

ὡρισμένην ἀπὸ τῆς ἀνδρωνίτιδος, ἵνα μήτε ἐκφέρηται ἔνδοθεν ὅ τι μὴ δεῖ, μήτε τεκνοποιῶνται οἱ οἰκέται ἄνευ τῆς ἡμετέρας γνώμης. Οἱ μὲν γὰρ χρηστοὶ παιδοποιησάμενοι εὐνούστεροι ὡς ἐπὶ τὸ πολὺ, οἱ δὲ πονηροὶ συζυγέντες εὐπορώτεροι πρὸς τὸ κακουργεῖν γίγνονται. Ἐπεὶ δὲ ταῦτα διήλθομεν, » ἔφη « οὕτω δὴ κατὰ φυλὰς διεκρίνομεν τὰ ἔπιπλα. Ἠρχόμεθα δὲ πρῶτον » ἔφη « ἀθροίζοντες οἷς ἀμφὶ θυσίας χρώμεθα. Μετὰ ταῦτα κόσμον γυναικὸς τὸν εἰς ἑορτὰς διῃροῦμεν, ἐσθῆτα ἀνδρὸς τὴν εἰς ἑορτὰς καὶ πόλεμον· καὶ στρώματα ἐν γυναικωνίτιδι, στρώματα ἐν ἀνδρωνίτιδι· ὑποδήματα γυναικεῖα, ὑποδήματα ἀνδρεῖα· ὅπλων ἄλλη φυλὴ, ἄλλη ταλασιουργικῶν ὀργάνων· ἄλλη σιτοποιικῶν, ἄλλη ὀψοποιικῶν, ἄλλη τῶν ἀμφὶ λουτρὸν, ἄλλη ἀμφὶ μάκτρας· ἄλλη ἀμφὶ τραπέζας, καὶ ταῦτα (6) πάλιν διεχωρίσαμεν, οἷς τε ἀεὶ δεῖ χρῆσθαι, καὶ τὰ θοινητικά. Χωρὶς δὲ καὶ τὰ κατὰ μῆνα δαπανώμενα ἀφείλομεν, δίχα (7) δὲ καὶ τὰ εἰς ἐνιαυτὸν ἀπολελογισμένα κατέθεμεν· οὕτω γὰρ ἧττον λανθάνει (8) ὅπως πρὸς τὸ τέλος ἐκβήσεται. Ἐπεὶ δὲ ἐχωρίσαμεν πάντα κατὰ φυλὰς τὰ ἔπιπλα, εἰς τὰς χώρας τὰς προσηκούσας ἕκαστα διηνέγκαμεν (9). Μετὰ δὲ τοῦτο ὅσοις μὲν τῶν σκευῶν καθ' ἡμέραν χρῶνται οἱ οἰκέται, οἷον σιτοποιικοῖς, ὀψοποιικοῖς, ταλασιουργικοῖς, καὶ εἴ τι ἄλλο τοιοῦτον, ταῦτα μὲν αὐτοῖς τοῖς χρωμένοις δείξαντες ὅπου δεῖ τιθέναι, παρεδώκαμεν καὶ ἐπετάξαμεν σᾶ (10) παρέχειν· ὅσοις δ' εἰς ἑορτὰς ἢ ξενοδοκίας χρώμεθα ἢ εἰς τὰς διὰ χρόνου (11) πράξεις, ταῦτα δὲ (12) τῇ ταμίᾳ παρεδώκαμεν, καὶ δείξαντες τὰς χώρας

---

dépassant, vient se placer, lorsque le battant est fermé, au-dessus d'une saillie de la paroi. Un trou cylindrique est percé de haut en bas dans la partie de la traverse qui dépasse le battant, et il se prolonge dans l'intérieur de la saillie de la paroi. On laisse tomber au fond de ce trou un petit cylindre de fer, appelé *βάλανος*, dont la tête s'enfonce jusqu'à moitié environ de la hauteur de la traverse, et qui ainsi l'assujettit. Le trou est très-étroit et le *βάλανος* le remplit exactement; il est impossible de retirer le *βάλανος* avec les doigts; il faut une sorte de clef (*βαλανάγρα*) faite exprès et qui s'ajuste avec la tête du *βάλανος*.

6. *Ταῦτα*, c'est-à-dire *τὰ ἀμφὶ τραπέζας*.

7. *Δίχα*, à part. Cicéron a fait un contre-sens en traduisant ce passage comme suit: «*annuum quoque* in duas partes *divisimus.*»

8. Sous-entendez à *λανθάνει* un régime direct de personne (*ἡμᾶς*, si l'on veut, ou plus généralement «la personne qui s'occupe de ce soin»).

9. *Διηνέγκαμεν*. Les Attiques se servent de la forme d'aoriste second *ἤνεγκον*, à la première personne du singulier; aux autres personnes, des formes de l'aoriste premier, *ἠνέγκας*, etc.

10. *Σᾶ*. Voy. p. 255, note 4.

11. *Διὰ χρόνου*, de loin en loin.

12. Remarquez la structure de la phrase: *ὅσοις μὲν* . . ., *ταῦτα μὲν* . . ., *ὅσοις δὲ* . . ., *ταῦτα δὲ* . . . (cf. page 260, note 20.)

αὐτῶν καὶ ἀπαριθμήσαντες καὶ γραψάμενοι ἕκαστα, εἴπομεν αὐτῇ διδόναι τούτων ὅτῳ δέοι ἕκαστον, καὶ μεμνῆσθαι ὅ τι ἄν τῳ διδῷ, καὶ ἀπολαμβάνουσαν κατατιθέναι πάλιν ὅθενπερ ἂν ἕκαστα λαμβάνῃ.

«Τὴν δὲ ταμίαν ἐποιησάμεθα ἐπισκεψάμενοι ἥτις ἡμῖν ἐδόκει εἶναι ἐγκρατεστάτη καὶ γαστρὸς καὶ οἴνου καὶ ὕπνου καὶ ἀνδρῶν συνουσίας, πρὸς τούτοις δὲ ἣ τὸ μνημονικὸν μάλιστα ἐδόκει ἔχειν, καὶ τὸ προνοεῖν(13) μή τι κακὸν λάβῃ παρ' ἡμῶν ἀμελοῦσα, καὶ σκοπεῖν ὅπως χαριζομένη τι ἡμῖν ὑφ' ἡμῶν ἀντιτιμήσεται. Ἐδιδάσκομεν δὲ αὐτὴν καὶ εὐνοϊκῶς ἔχειν πρὸς ἡμᾶς, ὅτ' εὐφραινοίμεθα, τῶν εὐφροσυνῶν μεταδιδόντες, καὶ εἴ τι λυπηρὸν εἴη, εἰς ταῦτα παρακαλοῦντες. Καὶ τὸ προθυμεῖσθαι δὲ συναύξειν τὸν οἶκον ἐπαιδεύομεν αὐτήν, ἐπιγιγνώσκειν αὐτὴν ποιοῦντες καὶ τῆς εὐπραγίας αὐτῇ μεταδιδόντες. Καὶ δικαιοσύνην δ' αὐτῇ ἐνεποιοῦμεν, τιμιωτέρους τιθέντες(14) τοὺς δικαίους τῶν ἀδίκων καὶ ἐπιδεικνύοντες πλουσιώτερον καὶ ἐλευθεριώτερον βιοτεύοντας τῶν ἀδίκων· καὶ αὐτὴν δὲ ἐν ταύτῃ τῇ χώρᾳ κατετάττομεν. Ἐπὶ δὲ τούτοις πᾶσιν εἶπον,» ἔφη «ὦ Σώκρατες, ἐγὼ τῇ γυναικὶ ὅτι πάντων τούτων οὐδὲν ὄφελος, εἰ μὴ αὐτὴ ἐπιμελήσεται ὅπως διαμενεῖ ἑκάστῳ ἡ τάξις. Ἐδίδασκον δὲ αὐτὴν ὅτι καὶ ἐν ταῖς εὐνομουμέναις πόλεσιν οὐκ ἀρκεῖν δοκεῖ τοῖς πολίταις, ἢν νόμους καλοὺς γράψωνται, ἀλλὰ καὶ νομοφύλακας προσαιροῦνται, οἵτινες ἐπισκοποῦντες τὸν μὲν ποιοῦντα τὰ νόμιμα ἐπαινοῦσιν, ἢν δέ τις παρὰ τοὺς νόμους ποιῇ, ζημιοῦσι. Νομίσαι οὖν ἐκέλευον» ἔφη «τὴν γυναῖκα καὶ αὐτὴν νομοφύλακα τῶν ἐν τῇ οἰκίᾳ εἶναι, καὶ ἐξετάζειν δέ, ὅταν δόξῃ αὐτῇ, τὰ σκεύη, ὥσπερ ὁ φρούραρχος τὰς φυλακὰς(15) ἐξετάζει, καὶ δοκιμάζειν εἰ καλῶς ἕκαστον ἔχει, ὥσπερ ἡ βουλὴ ἵππους καὶ ἱππέας δοκιμάζει, καὶ ἐπαινεῖν δὲ καὶ τιμᾶν, ὥσπερ βασίλισσαν, τὸν ἄξιον ἀπὸ τῆς παρούσης δυνάμεως, καὶ λοιδορεῖν καὶ κολάζειν τὸν τούτων(16) δεόμενον. Πρὸς δὲ τούτοις ἐδίδασκον αὐτὴν» ἔφη «ὡς οὐκ ἂν ἄχθοιτο δικαίως εἰ πλείω αὐτῇ πράγματα προστάττω ἢ τοῖς οἰκέταις περὶ τὰ κτήματα, ἐπιδεικνύων ὅτι τοῖς μὲν οἰκέταις μέτεστι τῶν δεσποσύνων χρημάτων τοσοῦτον ὅσον φέρειν ἢ θεραπεύειν ἢ φυλάττειν, χρῆ-

---

13. Τὸ προνοεῖν . . . καὶ σκοπεῖν, régime de ἔχειν (comme τὸ μνημονικόν).

14. Τιμιωτέρους τιθέντες, ionisme pour διὰ πλείονος τιμῆς ἄγοντες ou ἔχοντες.

15. Τὰς φυλακάς. V. p. 259, n. 11.

16. Τούτων, c.-à-d. τοῦ λοιδορεῖσθαι καὶ τοῦ κολάζεσθαι.

εἶναι ἢ ἦν, πολλῇ δ' ἐγχούσῃ(5), ὅπως ἐρυθροτέρα φαίνοιτο τῆς ἀληθείας, ὑποδήματα δ' ἔχουσαν ὑψηλά, ὅπως μείζων δοκοίη εἶναι ἢ ἐπεφύκει,

«Εἰπέ μοι,» ἔφην «ὦ γύναι, ποτέρως ἄν με κρίναις ἀξιοφί»λητον μᾶλλον εἶναι χρημάτων κοινωνόν, εἴ σοι αὐτὰ τὰ ὄντα »ἀποδεικνύοιμι καὶ μήτε κομπάζοιμι ὡς πλείω τῶν ὄντων ἐστὶ »μοι, μήτε ἀποκρυπτοίμην τῶν ὄντων μηδέν, ἢ εἰ πειρῴμην τέ »σε ἐξαπατᾶν λέγων ὡς πλείω ἐστί μοι τῶν ὄντων, ἐπιδεικνύς τε »ἀργύριον κίβδηλον δολοίην σε καὶ ὅρμους ὑποξύλους, καὶ πορ»φυρίδας ἐξιτήλους φαίην ἀληθινὰς εἶναι;»

«Καὶ ὑπολαβοῦσα εὐθύς·

ΓΥΝΗ. «Εὐφήμει·» ἔφη «μὴ γένοιο σὺ τοιοῦτος· οὐ γὰρ ἂν »ἔγωγέ σε δυναίμην, εἰ τοιοῦτος εἴης, ἀσπάσασθαι ἐκ τῆς ψυχῆς.»

Ι. «Οὐκοῦν» ἔφην ἐγὼ «συνεληλύθαμεν, ὦ γύναι, ὡς καὶ τῶν »σωμάτων κοινωνήσοντες ἀλλήλοις;»

ΓΥΝΗ. «Φασὶ γοῦν» ἔφη «οἱ ἄνθρωποι.»

Ι. «Ποτέρως ἂν οὖν» ἔφην ἐγὼ «τοῦ σώματος αὖ δοκοίην εἶναι »ἀξιοφίλητος μᾶλλον κοινωνός, εἴ σοι τὸ σῶμα πειρῴμην παρέ»χειν τὸ ἐμαυτοῦ ἐπιμελόμενος ὅπως ὑγιαῖνόν τε καὶ ἐρρωμένον »ἔσται, καὶ διὰ ταῦτα τῷ ὄντι εὔχρως σοι ἔσομαι, ἢ εἴ σοι »μίλτῳ(6) ἀλειφόμενος καὶ τοὺς ὀφθαλμοὺς ὑπαλειφόμενος ἀν»δρεικέλῳ ἐπιδεικνύοιμί τε ἐμαυτὸν καὶ συνείην ἐξαπατῶν σε καὶ »παρέχων ὁρᾶν καὶ ἅπτεσθαι μίλτου ἀντὶ τοῦ ἐμαυτοῦ χρωτός;»

ΓΥΝΗ. «Ἐγὼ μὲν» ἔφη ἐκείνη «οὔτ' ἂν μίλτου ἁπτοίμην ἥδιον »ἢ σοῦ, οὔτ' ἂν ἀνδρεικέλου χρῶμα ὁρῴην ἥδιον ἢ τὸ σόν, οὔτ' »ἂν τοὺς ὀφθαλμοὺς ὑπαληλιμμένους ἥδιον ὁρῴην τοὺς σοὺς ἢ »ὑγιαίνοντας.»

Οὐ μὴν ἀλλ' ἐπεὶ Φίλιππος(1) ὑπὸ τῆς περὶ τὴν Ἄμφισσαν εὐτυχίας ἐπαιρόμενος εἰς τὴν Ἐλάτειαν ἐξαίφνης ἐνέπεσε καὶ τὴν Φωκίδα κατέσχεν, ἐκπεπληγμένων τῶν Ἀθηναίων καὶ μηδενὸς τολμῶντος ἀναβαίνειν ἐπὶ τὸ βῆμα μηδὲ ἔχοντος ὅ τι χρὴ λέγειν, ἀλλ' ἀπορίας οὔσης ἐν μέσῳ καὶ σιωπῆς, παρελθὼν μόνος ὁ Δημοσθένης συνεβούλευε τῶν Θηβαίων ἔχεσθαι· καὶ τἆλλα παραθαρρύνας καὶ μετεωρίσας, ὥσπερ εἰώθει, ταῖς ἐλπίσι τὸν δῆμον ἀπεστάλη πρεσβευτὴς μεθ' ἑτέρων εἰς Θήβας. Ἔπεμψε δὲ καὶ Φίλιππος, ὡς Μαρσύας (2) φησίν, Ἀμύνταν μὲν καὶ Κλέανδρον καὶ Κάσανδρον Μακεδόνας(3), Δάοχον δὲ Θεσσαλὸν(4) καὶ Δικαίαρχον(5) ἀντεροῦντας.

Τὸ μὲν οὖν συμφέρον οὐ διέφευγε τοὺς τῶν Θηβαίων λογισμούς,

---

12. Ἐπί, à la suite de.

13. «Ἀναξαίνω se dit de blessures récemment fermées qu'on rouvre si on les frotte ou gratte (ξαίνω).»

Ch. XVIII.] 1. Οὐ μὴν ἀλλ' ἐπεὶ Φίλιππος . . . . Le récit de tous ces événements, qui aboutirent pour Athènes à la défaite décisive de Chéronée, est raconté en détail par Démosthène dans le discours sur la *Couronne*, §§ 143-191.

2. Μαρσύας. Marsyas, de Pella, frère d'Antigone *le Diadoque*, fut élevé avec Alexandre. Il fut l'auteur d'une histoire de Macédoine depuis les origines jusqu'à l'expédition d'Alexandre le Grand en Syrie, après la fondation d'Alexandrie (331 av. J. C.). A la bataille de Chypre (306), Marsyas commandait le centre sous Demetrius.

3. Ἀμύνταν . . . καὶ Κλέανδρον καὶ Κάσανδρον Μακεδόνας. On ne saurait dire si cet Amyntas et ce Cléandre sont les mêmes qui sont connus comme compagnons d'Alexandre. On ignore quel est ce Cassandre, quil ne faut pas confondre avec Cassandre (le fils d'Antipater) qui devint plus tard roi de Macédoine.

4. Δάοχον . . . Θεσσαλόν. Cf. Démosthène, *sur la Couronne*, § 295: Ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν, Θετταλοὺς Δάοχος, Κινέας, Θρασύδαος.

5. Δικαίαρχον. Personnage inconnu d'ailleurs.

ἀλλ' ἐν ὄμμασιν ἕκαστος εἶχε τὰ τοῦ πολέμου δεινά, τῶν Φωκικῶν ἔτι τραυμάτων(6) νεαρῶν παραμενόντων· ἡ δὲ τοῦ ῥήτορος δύναμις, ὥς φησι Θεόπομπος(7) ἐκριπίζουσα τὸν θυμὸν αὐτῶν καὶ διακαίουσα τὴν φιλοτιμίαν ἐπεσκότησε τοῖς ἄλλοις ἅπασιν, ὥστε καὶ φόβον καὶ λογισμὸν καὶ χάριν ἐκβαλεῖν(8) αὐτοὺς ἐνθουσιῶντας ὑπὸ τοῦ λόγου πρὸς τὸ καλόν. Οὕτω δὲ μέγα καὶ λαμπρὸν ἐφάνη τὸ τοῦ ῥήτορος ἔργον, ὥστε τὸν μὲν Φίλιππον εὐθὺς ἐπικηρυκεύεσθαι δεόμενον εἰρήνης, ὀρθὴν(9) δὲ τὴν Ἑλλάδα γενέσθαι καὶ συνεξαναστῆναι(10) πρὸς τὸ μέλλον, ὑπηρετεῖν δὲ μὴ μόνον τοὺς στρατηγοὺς(11) τῷ Δημοσθένει ποιοῦντας τὸ προσταττόμενον, ἀλλὰ καὶ τοὺς βοιωτάρχας, διοικεῖσθαι(12) δὲ καὶ τὰς ἐκκλησίας ἁπάσας οὐδὲν ἧττον ὑπ' ἐκείνου τότε τὰς Θηβαίων ἢ τὰς Ἀθηναίων, ἀγαπωμένου παρ' ἀμφοτέροις καὶ δυναστεύοντος οὐ κακῶς οὐδὲ παρ' ἀξίαν, καθάπερ ἀποφαίνεται Θεόπομπος(13), ἀλλὰ καὶ πάνυ προσηκόντως.

CHAPITRE XIX.

Τύχη δέ τις ἔοικε δαιμόνιος ἢ περιφορὰ πραγμάτων(1) εἰς ἐκεῖνο καιροῦ συμπεραίνουσα τὴν ἐλευθερίαν τῆς Ἑλλάδος ἐναντιοῦσθαι τοῖς πραττομένοις, καὶ πολλὰ σημεῖα τοῦ μέλλοντος

---

6. Τῶν Φωκικῶν . . . τραυμάτων. Ce sont les Thébains qui, en 356 ou 355 av. J. C., engagèrent contre la Phocide la lutte connue sous le nom de seconde guerre Sacrée et qui dura environ dix ans. Les Phocidiens reçurent des secours, entre autres, des Athéniens. Philippe se mit du côté des Thébains, et ce fut lui qui finit par avoir raison de la résistance de la Phocide.

7. Ὥς φησι Θεόπομπος. Weil (*Harangues de Démosthène*, p. xxv): «L'historien Théopompe a parlé dans les termes d'une vive *admiration*, quoique de mauvaise grâce et comme malgré lui, de ce succès obtenu par la politique et l'éloquence de Démosthène.»

8. Ὥστε καὶ φόβον . . . ἐκβαλεῖν. Voici une paraphrase de ce passage: [illegible]»

9. Ὀρθήν, debout (prête à marcher).

10. Συνεξαναστῆναι: [illegible]

11. Τοὺς στρατηγούς. Les stratèges, c'est-à-dire les généraux d'Athènes.

12. Διοικεῖσθαι. «Et estoient les assemblées de conseil à Thebes aussi bien regies par luy, comme celles d'Athenes.» (Amyot.)

13. Κακῶς . . . Θεόπομπος. Théopompe, dans son histoire, ne manquait aucune occasion de dénigrer les grands hommes athéniens appartenant au parti du peuple, et spécialement Démosthène.

Ch. XIX, 1. Τύχη δέ τις . . . πραγμάτων. «Quelque fatale destinée et révolution des affaires.» (Amyot.)

ἀναφαίνειν, ἐν οἷς ἥ τε Πυθία δεινὰ προὔφερε μαντεύματα, καὶ χρησμὸς ᾔδετο παλαιὸς ἐκ τῶν Σιβυλλείων(2)

Τῆς ἐπὶ Θερμώδοντι μάχης ἀπάνευθε γενοίμην,
αἰετὸς ἐν νεφέεσσι καὶ ἠέρι θηήσασθαι(3).
Κλαίει ὁ νικηθείς, ὁ δὲ νικήσας ἀπόλωλε.

Τὸν δὲ Θερμώδοντά φασιν εἶναι παρ' ἡμῖν ἐν Χαιρωνείᾳ ποταμὸν μικρὸν εἰς τὸν Κηφισὸν ἐμβάλλοντα. Ἡμεῖς δὲ νῦν μὲν οὐδὲν οὕτω τῶν ῥευμάτων ἴσμεν ὀνομαζόμενον, εἰκάζομεν δὲ τὸν καλούμενον Αἵμονα Θερμώδοντα τότε λέγεσθαι· καὶ γὰρ παραρρεῖ παρὰ τὸ Ἡράκλειον, ὅπου κατεστρατοπέδευον οἱ Ἕλληνες· καὶ τεκμαιρόμεθα τῆς μάχης γενομένης αἵματος ἐμπλησθέντα καὶ νεκρῶν τὸν ποταμὸν ταύτην διαλλάξαι τὴν προσηγορίαν. Ὁ δὲ Δοῦρις(4) οὐ ποταμὸν εἶναι τὸν Θερμώδοντά φησιν, ἀλλ' ἱστάντας τινὰς σκηνὴν καὶ περιορύττοντας ἀνδριαντίσκον εὑρεῖν λίθινον, ὑπὸ γραμμάτων τινῶν διασημαινόμενον ὡς εἴη Θερμώδων, ἐν ταῖς ἀγκάλαις φέροντ' Ἀμαζόνα τετρωμένην(5)· ἐπὶ τούτῳ δὲ χρησμὸν ἄλλον ᾄδεσθαι(6) λέγοντα

Τὴν δ' ἐπὶ Θερμώδοντι μάχην μένε, παμμέλαν ὄρνι·
τηνεί(7) τοι κρέα πολλὰ παρέσσεται ἀνθρώπεια.

---

2. *Τὰ Σιβύλλεια*, recueil de prophéties de sibylles. Il faut observer que la Pythie, prêtresse d'Apollon à Delphes, qui ne dévoilait l'avenir que lorsqu'elle était assise sur son trépied, n'était pas une sibylle: l'inspiration des sibylles venait de l'eau de certaines sources dont elles buvaient, et cette inspiration était permanente.

3. *Αἰετός, νεφέεσσι* (pour *νέφεσι*), *ἠέρι, θηήσασθαι* (pour *θεάσασθαι*), formes de la langue épique. Quant au sens, entendez: *ὥστε θεάσασθαι*, *pour le voir* en aigle, du haut des airs.

4. *Ὁ δὲ Δοῦρις.* Duris, tyran de Samos. Son frère Lyncée remporta une fois à Athènes, au concours de comédie, la victoire sur Ménandre († 292). La principale œuvre de Duris était une histoire de Grèce et de Macédoine, en vingt et quelques livres, qui partait de la mort d'Épaminondas et allait jusqu'après la mort de Lysimaque († 281).

5. *Ἀνδριαντίσκον εὑρεῖν λίθινον . . . . φέροντ' Ἀμαζόνα τετρωμένην.* «C'était,» dit Dübner, «le dieu du fleuve Thermodon qui coule dans la Cappadoce et arrose la plaine de Thémiscyre, habitée par les Amazones; il s'appelle aujourd'hui Tenneh.»

6. *Ἄιδεσθαι* dépend encore de *Δοῦρίς φησι.*

7. *Τηνεί.* Les Doriens disaient *τῆνος* pour *ἐκεῖνος*, et *τηνεί* pour *ἐκεῖ*. Quant à *παρέσσεται*, c'est une forme poétique pour *παρέσται*.

CHAPITRE XX.

Ταῦτα μὲν οὖν ὅπως ἔχει, διαιτῆσαι χαλεπόν· ὁ δὲ Δη
λέγεται τοῖς τῶν Ἑλλήνων ὅπλοις ἐκτεθαρρηκώς, καὶ
ὑπὸ ῥώμης καὶ προθυμίας ἀνδρῶν τοσούτων προκα
τοὺς πολεμίους αἰρόμενος(1), *οὔτε χρησμοῖς ἐᾶν προσέχε*
μαντείας ἀκούειν, ἀλλὰ καὶ τὴν Πυθίαν ὑπονοεῖν ὡς φι
σαν(3), *ἀναμιμνήσκων Ἐπαμεινώνδου*(4) *τοὺς Θηβαίους*
κλέους τοὺς Ἀθηναίους, ὡς ἐκεῖνοι τὰ τοιαῦτα πάν
ἡγούμενοι προφάσεις ἐχρῶντο τοῖς λογισμοῖς(5).

Μέχρι μὲν οὖν τούτων ἀνὴρ ἦν ἀγαθός· ἐν δὲ τῇ μ
οὐδὲν οὐδ' ὁμολογούμενον ἔργον οἷς εἶπεν ἀποδειξάμ
λιπὼν τὴν τάξιν, ἀποδρὰς αἴσχιστα καὶ τὰ ὅπλα ῥίψ
τὴν ἐπιγραφὴν τῆς ἀσπίδος, ὡς ἔλεγε Πυθέας, αἰσχυ
γραμμένην χρυσοῖς γράμμασιν ΑΓΑΘΗΙ ΤΥΧΗΙ(7).

Παραυτίκα μὲν οὖν ἐπὶ τῇ νίκῃ διὰ τὴν χαρὰν Φ
βρίσας καὶ κωμάσας ἐπὶ τοὺς νεκροὺς μεθύων(8) *ἢ*

Ch. XX.] 1. *Λαμπρὸς . . . αἰρόμενος*, c'est-à-dire *αἰρόμενος* (*εἶναι*).

2. *Προσέχειν* (sous-entendu *τὸν νοῦν*), faire attention à.

3. *Τὴν Πυθίαν ὑπονοεῖν ὡς φιλιππίζουσαν.* Plutarque rés
sage d'Eschine, *contre Ctésiphon*, § 130, qui commence
προὔλεγον, οὐ προσήμαινον ἡμῖν οἱ θεοὶ φυλάξασθαι κτλ., et
par ces mots: *Δημοσθένης δὲ ἀντέλεγε φιλιππίζειν τὴν Πυ*

4. *Ἐπαμεινώνδου.* Épaminondas, le plus grand général e
de l'histoire de Thèbes, mort à Mantinée, au milieu de la vi
portait sur les Lacédémoniens, en 362 av. J. C., âgé d'e

5. *Ἀναμιμνήσκων . . . . ἐχρῶντο τοῖς λογισμοῖς.* « En l
comme ces deux grands personnages là avoient tousjours
prophéties n'estoient autre chose que couverture de bel
que sans y avoir esgard ilz avoient tousjours fait les chose
estre a faire par raison. » (Amyot.)

6. *Μέχρι μὲν οὖν . . . . καὶ τὰ ὅπλα ῥίψας.* Cf. Eschine,
§ 253, en parlant de Démosthène: *Ἀνὴρ ῥήτωρ, ὁ πάντων*
ἔλιπε τὴν ἀπὸ στρατοπέδου τάξιν. *Ambassade*, § 148 : *Ἐ*
καὶ τὸν γραψάμενον Νικόδημον τὸν Ἀφιδναῖον χρήμασι

7. *Ἀγαθῇ τύχῃ*, formule de bon augure, qu'on grav
autres usages, en tête des décrets du peuple à Athène
procher la formule latine: *Quod felix faustumque sit.*

8. *Παραυτίκα μὲν οὖν . . . . μεθύων.* Deux traditions
l'antiquité sur l'attitude de Philippe après la victoire
dore et autres auteurs rapportent aussi celle dont Pl
l'écho. L'autre, représentée pour nous par Élien et
Théopompe, qui avait retracé l'histoire de ces temps
favorable à Philippe: *Ita vicit ut victorem nemo sen*
inter tacitam laetitiam et dolorem hostium temperavit,
exultasse neque apud victos insultasse videretur. (Justi

τοῦ Δημοσθένους ψηφίσματος (9) πρὸς πόδα διαιρῶν (10) καὶ ὑποκρούων (11)·

Δημοσθένης Δημοσθένους Παιανιεὺς τάδ' εἶπεν (12).

Ἐκνήψας δὲ καὶ τὸ μέγεθος τοῦ περιστάντος αὐτὸν ἀγῶνος ἐν νῷ λαβών, ἔφριττε τὴν δεινότητα καὶ τὴν δύναμιν τοῦ ῥήτορος, ἐν μέρει μικρῷ μιᾶς ἡμέρας τὸν ὑπὲρ τῆς ἡγεμονίας καὶ τοῦ σώματος (13) ἀναρρῖψαι (14) κίνδυνον ἀναγκασθεὶς ὑπ' αὐτοῦ.

Διῖκετο δ' ἡ δόξα μέχρι τοῦ Περσῶν βασιλέως· κἀκεῖνος ἔπεμψε τοῖς σατράπαις ἐπὶ θάλασσαν (15) γράμματα καὶ χρήματα (16) Δημοσθένει διδόναι κελεύων καὶ προσέχειν ἐκείνῳ μάλιστα τῶν Ἑλλήνων, ὡς περισπάσαι δυναμένῳ καὶ κατασχεῖν ταῖς Ἑλληνικαῖς ταραχαῖς τὸν Μακεδόνα. Ταῦτα (17) μὲν οὖν ὕστερον ἐφώρασεν Ἀλέξανδρος, ἐν Σάρδεσιν ἐπιστολάς τινας ἀνευρὼν τοῦ Δημοσθένους καὶ γράμματα τῶν βασιλέως στρατηγῶν, δηλοῦντα τὸ πλῆθος τῶν δοθέντων αὐτῷ χρημάτων (18).

CHAPITRE XXI.

Τότε δὲ τῆς ἀτυχίας (1) τοῖς Ἕλλησι γεγενημένης οἱ μὲν ἀντι-

---

9. *Τοῦ Δημοσθένους ψηφίσματος*. Il s'agit du décret, voté par le peuple sur la proposition de Démosthène, qui déclarait la guerre à Philippe. Voyez Démosthène, *Couronne*, § 179.

10. *Πρὸς πόδα διαιρῶν*, *ad pedem dividens*, en le scandant.

11. *Ὑποκρούων*, en battant la mesure. (Les vers grecs ou latins se récitaient en cadence.) Comparez l'expression de Sénèque: *pedem supplodere*.

12. *Δημοσθένης . . . . εἶπεν*. Ces mots se trouvent former un vers iambique tétramètre catalectique.

13. *Τοῦ σώματος*, le corps, c'est-à-dire *la vie*.

14. *Ἀναρρῖψαι*. Pour le sens de ce mot, comparez la traduction que donne Plutarque de la parole de César au passage du Rubicon: *Ἀνερρίφθω κύβος* (Plutarque a adopté la variante *jacta alea esto*).

15. *Ἐπὶ θάλασσαν* dépend directement de *ἔπεμψε* (non de *τοῖς σατράπαις*). Entendez: *à la côte d'Asie Mineure*. Les satrapes de cette région s'appelaient *οἱ ἐπὶ θαλάττῃ σατράπαι*.

16. *Γράμματα καὶ χρήματα* sert à la fois de régime à *ἔπεμψε* et à *διδόναι*.

17. *Ταῦτα*, ces choses-là, cette affaire.

18. *Δηλοῦντα τὸ πλῆθος τῶν δοθέντων αὐτῷ χρημάτων*. On voit par Philostrate (*Vies des sophistes*, p. 538) que les rhéteurs grecs avaient tiré de cette tradition deux matières de discours: 1° *Δημάδης ἄγει ἐπὶ τὸν Δημοσθένην ταλάντων πεντήκοντα δωροδοκίαν, ὡς Ἀλεξάνδρου τοῦτο Ἀθηναίοις ἐκ τῶν Δαρείου λογισμῶν ἐπεσταλκότος* (Démade intente contre Démosthène une accusation de corruption, Alexandre ayant envoyé la preuve, extraite des registres de Darius, qu'il avait reçu du grand roi 50 talents); 2° Défense de Démosthène (*Δημοσθένης ἐξομνύει τὴν δωροδοκίαν*).

Ch. XXI. 1. *Τῆς ἀτυχίας*, à savoir la défaite de Chéronée.

23

πολιτευόμενοι ῥήτορες ἐπεμβαίνοντες(2) *τῷ Δημοσθένει κατε σκεύαζον*(3) *εὐθύνας*(4) *καὶ γραφὰς ἐπ' αὐτόν· ὁ δὲ δῆμος οι μόνον τούτων ἀπέλυσεν*(5), *ἀλλὰ καὶ τιμῶν διετέλει καὶ προκα λούμενος αὖθις, ὡς εὔνουν, εἰς τὴν πολιτείαν, ὥστε καὶ, τῶν ὀστῶ ἐκ Χαιρωνείας κομισθέντων καὶ θαπτομένων*(6) *τὸν ἐπὶ τοῖ ἀνδράσιν ἔπαινον εἰπεῖν ἀπέδωκεν*(7), *οὐ ταπεινῶς οὐδ' ἀγεννῶ φέρων τὸ συμβεβηκὸς, ὡς γράφει καὶ τραγῳδεῖ*(8) *Θεόπομπος ἀλλὰ τῷ τιμᾶν μάλιστα καὶ κοσμεῖν τὸν σύμβουλον ἐπιδεικνύμενο τὸ μὴ μεταμέλεσθαι τοῖς συμβεβουλευμένοις*(9). *Τὸν μὲν οὐ λόγον εἶπεν ὁ Δημοσθένης, τοῖς δὲ ψηφίσμασιν οὐχ ἑαυτὸν, ἀλλ ἐν μέρει*(10) *τῶν φίλων ἕκαστον ἐπέγραφεν*(11), *ἐξοιωνιζόμενο τὸν ἴδιον δαίμονα καὶ τὴν τύχην*(12), *ἕως αὖθις ἀνεθάρρησε Φι λίππου τελευτήσαντος. Ἐτελεύτησε δὲ τῇ περὶ Χαιρώνειαν εὐ*

---

2. *Ἐπεμβαίνοντες*. Cf. au chap. suivant, p. 356, l. 4, *ἐπισκιρτᾶν τ νεκρῷ*.

3. *Κατεσκεύαζον*, *moliebantur*.

4. *Εὐθύνας*, des actions en reddition de compte.

5. *Ἀπέλυσεν*: sous-entendu *τὸν Δημοσθένην*.

6. *Ὥστε καὶ ὀστῶν . . . . θαπτομένων*. C'était la coutume à Athènes qu les restes des guerriers tombés sur le champ de bataille fussent, quan cela était possible, rapportés dans la patrie: on les enterrait alors, e grande pompe, aux frais du trésor public, dans le champ appellé le *C ramique extérieur*, sur la voie sacrée d'Athènes à Éleusis, et un orateu prononçait leur oraison funèbre (*ἐπιτάφιος*). Il faut lire à ce propos l chap. 34 du second livre de Thucydide. — Le discours prononcé par Dé mosthène lors de la cérémonie des guerriers morts à Chéronée ne s'es pas conservé: ce n'est point l'*ἐπιτάφιος*, peu authentique, qu'on trouv dans la collection des œuvres démosthéniques.

7. *Τὸν . . . ἔπαινον εἰπεῖν ἀπέδωκεν*. Plutarque emprunte ces détail aux §§ 248, 249 et 285 du discours de Démosthène *sur la Couronne*.

8. *Τραγῳδεῖ*, déclame. Amyot: « Ainsi que Theopompus . . . le presch magnifiquement. »

9. *Τοῖς συμβεβουλευμένοις*, les choses délibérées dans l'assemblée d peuple, en commun avec Démosthène. Cf. *συνεξαναστῆναι*, note 10 d chap. XVIII.

10. *Ἐν μέρει*. « *Vicissim, per vices, modo hunc modo alium decreti au torem adscribebat.* »

11. *Ἐπέγραφεν*. Voyez au chapitre précédent l'*intitulé* du décret d Démosthène, que Philippe scande comme un vers. *Ψηφίσματι* ou *ἐπὶ ψη φίσμα ἐπιγράφειν ὄνομα*, mettre son nom en tête d'un proposition. D notre temps, on le met au bout, et cela s'appelle alors *signer*.

12. *Ἐξοιωνιζόμενος . . . . τὴν τύχην*. Eschine rapporte le même fait e la même crainte, mais en changeant les rôles; et il parle aussi de l mauvaise fortune qui semblait attachée à Démosthène (*Contre Ctésiphon* §§ 159 et 157): *Ὑμεῖς δὲ κατὰ μὲν τοὺς πρώτους χρόνους* (après Chéronée *οὐδ' ἐπὶ τὰ ψηφίσματα εἰᾶτε τὸ Δημοσθένους ἐπιγράφειν ὄνομα*. Il adjur les Athéniens, *τὸν δαίμονα καὶ τὴν τύχην τὴν συμπαρακολουθοῦσαν τ ἀνθρώπῳ φυλάξασθαι*.

τυχίᾳ χρόνον οὐ πολὺν ἐπιβιώσας(13)· καὶ τοῦτο δοκεῖ τῷ τελευταίῳ τῶν ἐπῶν ὁ χρησμὸς ἀποθεσπίσαι·

Κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλεν.

CHAPITRE XXII.

Ἔγνω μὲν οὖν κρύφα τὴν τοῦ Φιλίππου τελευτὴν ὁ Δημοσθένης· προκαταλαμβάνων δὲ τὸ θαρρεῖν ἐπὶ τὰ μέλλοντα τοὺς Ἀθηναίους(1), προῆλθε φαιδρὸς εἰς τὴν βουλὴν, ὡς ὄναρ ἑωρακὼς(2), ἀφ' οὗ τι μέγα προσδοκᾶν(3) Ἀθηναίοις ἀγαθόν· καὶ μετ' οὐ πολὺ παρῆσαν οἱ τὸν Φιλίππου θάνατον ἀπαγγέλλοντες(4). Εὐθὺς οὖν ἔθυον εὐαγγέλια καὶ στεφανοῦν ἐψηφίσαντο Παυσανίαν(5). Καὶ προῆλθεν ὁ Δημοσθένης ἔχων λαμπρὸν ἱμάτιον ἐστεφανωμένος, ἑβδόμην ἡμέραν τῆς θυγατρὸς αὐτοῦ τεθνηκυίας, ὡς Αἰσχίνης φησὶ(6) λοιδορῶν ἐπὶ τούτῳ καὶ κατηγορῶν αὐτοῦ μισοτεκνίαν, αὐτὸς ὢν ἀγεννὴς καὶ μαλακὸς, εἰ τὰ πένθη καὶ τοὺς ὀδυρμοὺς ἡμέρου καὶ φιλοστόργου ψυχῆς ἐποιεῖτο σημεῖα, τὸ δὲ ἀλύπως φέρειν ταῦτα καὶ πρᾴως ἀπεδοκίμαζεν.

Ἐγὼ δ', ὡς μὲν ἐπὶ θανάτῳ βασιλέως ἡμέρως οὕτω καὶ φιλανθρώπως ἐν οἷς ηὐτύχησε χρησαμένου πταίσασιν αὐτοῖς(7) στεφα-

---

13. *Χρόνον οὐ πολὺν ἐπιβιώσας.* Chéronée est en 338; Philippe est assassiné par Pausanias en 336.

Ch. XXII]. 1. *Προκαταλαμβάνων*, voulant obtenir d'avance, *τὸ τοὺς Ἀθηναίους ἐπὶ τὰ μέλλοντα θαρρεῖν*, que les Athéniens prissent confiance dans l'avenir. Comp. Amyot: « Il voulut prevenir à donner au peuple bonne esperance de l'advenir. »

2. *Ὡς ὄναρ ἑωρακώς* dit la même chose que s'il y avait *ὄναρ ἑωρακέναι λέγων*.

3. Sous-entendez *ἦν* devant *προσδοκᾶν*, *était à attendre*.

4. *Οἱ τὸν Φιλίππου θάνατον ἀπαγγέλλοντες.* Cf. le récit, un peu différent, d'Eschine (*Contre Ctésiphon*, § 77): *Οὗτος . . . ὁ τηλικοῦτος τὸ μέγεθος κόλαξ πρῶτος διὰ τῶν κατασκόπων τῶν παρὰ Χαριδήμου πυθόμενος τὴν Φιλίππου τελευτὴν, τῶν μὲν θεῶν συμπλάσας ἑαυτῷ ἐνύπνιον κατεψεύσατο, ὡς οὐ παρὰ Χαριδήμου τὸ πρᾶγμα πεπυσμένος, ἀλλὰ παρὰ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς, κτλ.*

5. *Εὐθὺς οὖν . . . . . Παυσανίαν.* Voy. la dernière note du chapitre précédent.

6. *Ὡς Αἰσχίνης φησί.* Voici la citation exacte d'une partie du texte (*Ctésiph.*, §§ 77-78) que rappelle Plutarque: *Ἑβδόμην δ' ἡμέραν τῆς θυγατρὸς αὐτῷ τετελευτηκυίας, πρὶν πενθῆσαι καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφανωσάμενος καὶ λευκὴν ἐσθῆτα λαβὼν, κτλ. — Ὁ γὰρ μισότεκνος καὶ πατὴρ πονηρὸς οὐκ ἄν ποτε γένοιτο δημαγωγὸς χρηστὸς, οὐδ' ὁ τὰ φίλτατα καὶ οἰκειότατα σώματα μὴ στέργων κτλ.*

7. *Βασιλέως ἡμέρως οὕτω καὶ φιλανθρώπως χρησαμένου πταίσασιν αὐτοῖς.*

πολιτευόμενοι ῥήτορες ἐπεμβαίνοντες (2) ...
σκευάζον (3) εὐθύνας (4) καὶ γραφὰς ἐπ' ...
μόνον τούτων ἀπέλυσεν (5), ἀλλὰ καὶ τιμ...
λούμενος αὖθις, ὡς εὔνουν, εἰς τὴν πολιτ...
ἐκ Χαιρωνείας κομισθέντων καὶ θαπτ...
ἀνδράσιν ἔπαινον εἰπεῖν ἀπέδωκεν (7). ...
φέρων τὸ συμβεβηκός, ὡς γράφει καὶ ... καὶ
ἀλλὰ τῷ τιμᾶν μάλιστα καὶ κοσμεῖν τὸ ... τὰ
τὸ μὴ μεταμέλεσθαι τοῖς συμβεβο... . . . . (16)
λόγον εἶπεν ὁ Δημοσθένης, τοῖς δὲ ... βασιλικῶν
ἐν μέρει (10) τῶν φίλων ἕκαστον ἐ... ...ς οὔτε γε-
τὸν ἴδιον δαίμονα καὶ τὴν τύχην (12 ... ὡς ὁ ἀγὼν (17)
λίππου τελευτήσαντος. Ἐτελεύτησ...

---

2. Ἐπεμβαίνοντες. Cf. au chap. ... n les prisonniers ath...
νεκρῷ. ... ions onéreuses pour cet ...
3. Κατεσκεύαζον, *moliebantur*.
4. Εὐθύνας, des actions en reddi... « oultre ce qu'il y a de l...
5. Ἀπέλυσεν: sous-entendu τὸν ... » (Amyot.)
6. Ὥστε καὶ ὀστῶν . . . . θαπτ...
les restes des guerriers tombés ... ...ique, recevoir le droit de cité
cela était possible, rapportés d... ...ment la perte de la nationalité
grande pompe, aux frais du tr... ... exemple, le voyageur Polémon
ramique extérieur, sur la voie ... ...toyen de Samos, de Sicyone et
prononçait leur oraison funèbr... ...toyen de sa patrie.
chap. 34 du second livre de T... ... « après qu'un *autre* l'eut tué. »
mosthène lors de la cérémoni...
pas conservé: ce n'est point [illegible] si ce eussent esté *eulx mes-*
dans la collection des œuvre... [illegible] (Amyot.)
7. Τὸν . . . ἔπαινον εἰπεῖν ... [illegible] fait d'une âme, etc.
aux §§ 248, 249 et 285 du ... [illegible]), « *discedentem ad illam*
8. Τραγῳδεῖ, déclame. Au... [illegible] *patriae, ibique stantem.* »
magnifiquement. » [illegible] pas à Démosthène,
9. Τοῖς συμβεβουλευμένο... [illegible]
peuple, en commun avec ... [illegible]. Les sens est: *Pri-*
chap. XVIII. [illegible] *quasi fulcientem et*
10. Ἐν μέρει. « *Vici*... [illegible] un mot comme
torem adscribebat. » [illegible] ἐπανέχοντα.
11. Ἐπέγραφεν. Vo... [illegible]. La phrase qui reste
Démosthène, que Phili... [illegible] par des mots donnant un
φισμα ἐπιγράφειν ὄνο... [illegible] *intérieure sous un*
notre temps, on le m... [illegible] commencer à peu près dans
12. Ἐξονειδιζόμενο... [illegible] *ainsi* conserve sa di-
la même crainte, m... [illegible] τηρεῖν, κτλ.)
mauvaise fortune ... [illegible] représentations scéniques, en
§§ 159 et 157): Ὑμ... [illegible] entre les chorèges (ou impre-
οὐδ' ἐπὶ τὰ ψηφίσ... [illegible] et qui avaient lieu à certains
les Athéniens, τ... [illegible]. à l'acteur et au poète
ἀνθρώπῳ φυλάξα...
[illegible]

περιορᾶν ἀπαρη-
ς χρῆσθαι κουφί-
άνοιαν, ὥσπερ οἱ
ἀντιτύπων(19) ἐπὶ τὰ
ειν κελεύοντες, πόθεν
πατρίδος εὐτυχούσης ἐκ
σύγκρασιν πορίζόμενος
; Ταῦτα μὲν οὖν εἰπεῖν
λοὺς καὶ ἀποθηλύνοντα τὸν
ον(20).

RE XXIII.

ημοσθένους ἀναρριπίζοντος αὐτὰς,
μὲν ἐπέθεντο τῇ φρουρᾷ(1) καὶ πολ-
μοσθένους αὐτοῖς συμπαρασκευάσαντος,
οντες μετ' αὐτῶν παρεσκευάζοντο. Καὶ τὸ
θένης, καὶ πρὸς τοὺς ἐν Ἀσίᾳ στρατηγοὺς
ὸν ἐκεῖθεν πόλεμον ἐπεγείρων Ἀλεξάνδρῳ,
ην(3) ἀποκαλῶν αὐτόν(4). Ἐπεὶ μέντοι, τὰ
θέμενος(6), παρῆν αὐτὸς μετὰ τῆς δυνάμεως
ἐξεκέκοπτο μὲν ἡ θρασύτης τῶν Ἀθηναίων

. On dit de même en français, dans la langue de la peinture.
ἐν οὖν . . . πρὸς οἶκτον. Amyot: « Mais à tant ce qui m'a avant en ce discours hors du fil de l'histoire, c'est que je chines attendrit le cueur à plusieurs, et les amollit de comninine sans propos en cest endroit de son oraison. »

III.] 1. *Τῇ φρουρᾷ*, la garnison que Philippe avait mise dans Thèbes au lendemain de Chéronée. Le soulèvement de Thèbes en l'année 335 av. J. C.

παῖδα. Comp. *Vie d'Alexandre*, § 11: (*Ἀλέξανδρος*) *εὐθὺς ἦγε διὰ τὴν δύναμιν εἰπὼν ὅτι Δημοσθένει παῖδα μὲν αὐτόν, ἕως ἦν ἐν οῖς καὶ Τριβαλλοῖς, ἀποκαλοῦντι, μειράκιον δὲ περὶ Θετταλίαν γενό. βούλεται πρὸς τοῖς Ἀθηναίων τείχεσιν ἀνὴρ φανῆναι.*

3. « *Μαργίτης* est le héros d'un poème attribué à Homère; c'est un mme qui se mêle de tout et n'est bon à rien: *Πόλλ' ἠπίστατο ἔργα, κακῶς δ' ἠπίστατο πάντα.* »

4. *Ἀποκαλῶν αὐτόν.* Cf. Eschine (*Contre Ctésiphon*, § 160): *Ἐπωνυμίαν δ' Ἀλεξάνδρῳ Μαργίτην ἐτίθετο.*

5. *Τὴν χώραν*, c'est-à-dire la Macédoine.

6. *Θέμενος.* Entendez comme s'il y avait *θέμενος εὖ.* Amyot: « Ayant donné bon ordre aux affaires de dedans son royaume. »

νηφορεῖν καλῶς εἶχε καὶ θύειν, οὐκ ἂν νεμεσητῷ(8) *καὶ ἀγεννὲς*(9) *ζῶντα μὲν λίτην*(10), *πεσόντος*(11) *δ' ὑφ' ἑτέρου μὴ ἀλλ' ἐπισκιρτᾶν τῷ νεκρῷ καὶ παιωνί γαθήσαντας*(12). *Ὅτι μέντοι τὰς οἴκοι μοὺς ἀπολιπὼν ταῖς γυναιξὶν ὁ Δη ρειν ᾤετο, ταῦτ' ἔπραττεν, ἐπαιν ἀνδρώδους ψυχῆς*(13), *ἀεὶ πρὸς τ οἰκεῖα πράγματα καὶ πάθη τοῖς δ τηρεῖν τὸ ἀξίωμα πολὺ μᾶλλον καὶ τυραννικῶν προσώπων, οἱ λῶντας ἐν τοῖς θεάτροις ὡς ἀπαιτεῖ πρὸς τὴν ὑπόθεσιν*

... *Ἀλέξανδρο* ... *Ἀλέξανδρο* ... *ὡς Ἰδομενεὺς* ... *πλεῖστοι καὶ* ... *Δημοσθένην, Πολύευ* ... *Μοιροκλέα* (18), ...

Après Chéronée, Philippe av... niens et conclu la paix avec ... ville.

8. *Πρὸς γὰρ τῷ νεμεσητῷ* ... cruaulté subjette à estre ...

9. *Ἀγεννές*, sous-ent. ...

10. *Ποιεῖσθαι πολίτην*. ... dans une ville étrangère ... à laquelle on apparten... (vers 200 av. J. C.), ... d'Athènes, sans cesser ...

11. *Πεσόντος* (génit... (Amyot.)

12. *Ὥσπερ αὐτο*... *mes* qui l'eussent ...

13. *Τίθεμαι* ...

14. *Ἱστάμενον* ... *partem ubi est* ... *Ἱσταμένου*, et ... mais à *τινά* ...

15. *Ἐπανέχ*... *vata negotia* ... *sustinent* ... *ἐντυγχάνοντι* ...

16. Il ... suspend ... sens ... *visu* ... ces ... gui ...

... Adone se diminua grand ... plus Demosthenes comme ... qu'on lit dans certains diction... ...mosthene s'était éteint, c'est-à-dir... ...ux seuls.

... ruction de Thèbes par Alexandre, qu... ...te ville, eut lieu en octobre 33...

... Plutarque commet ici une erreur ... ...voyée à Alexandre avant, et non pas aprè...

... de la Béotie, peu éloignée des frontières ...

... *τρυφὴν ἀρχὴν*. Cf. Eschine (*Contre* ... cf. la note 2 du prés. chap.) ... *στρατόπεδον* ... *ἐκ μέσου τοῦ Κιθαιρῶνος*.

... 17 du chap. XV.

... du chap. XIX.

... 5 du chap. X.

... politique de Démosthène (il ne faut pas l... ...nyme, le contemporain de Périclès, qui a été ... est peut-être le même personnage qui ... dans la défense d'Halicarnasse contre ...

... Lycophron, du dème de Boutades, l'un ... le seul des hommes politiques émin... ... d'une antique et noble famille athénienne, sa ... héros Boutès, descendant ou fils d'Erechthée. ... d'*Étéobutades*. Il doit être ... de la politique extérieure qu'après ... ans à partir de cette même an... ... les finances de la république athénienne ... furent effectués de son ... victorieux de tous les ... accusateur ... On l'a appelé ... l'accusation contre Léocrate, ... de sa patrie à la nouvelle de la dé...

... Ὅτε καὶ τὸν περὶ τῶν ... τῷ δήμῳ ἃ τοῖς λύκοις ... τὸν μὲν εἴκασε καὶ τοὺς ...χομένοις, τὸν δ' Ἀλέξανδρον ...ωτόεν. Ἔτι δ' « ὥσπερ » ἔφη ... βολίῳ δεῖγμα περιφέρωσι, δι' ... πράσκοντας, οὕτως ἐν ἡμῖν λαν... ...ντες. » Ταῦτα μὲν οὖν Ἀριστό... ...όρηκε. Βουλευομένων δὲ τῶν Ἀθη... ... ὁ ...μάδης λαβὼν (24) πέντε τάλαντα ...λόγησε πρεσβεύσειν καὶ δεήσεσθαι τοῦ ... εἴτε τῇ φιλίᾳ πιστεύων, εἴτε προσδοκῶν ...περ λέοντα φόνου κεκορεσμένον. Ἔπεισε δ'

...née, et, après cette coupable désertion, s'était risqué à y ... plus tard, lorsque tout était rentré dans le calme. Lycur... ...n 324.

...κλέα. Voy. la note 17 du chap. XIII.

...ωνα. Sur Démon, voy. le chap. XXVII.

...λλισθένην. Le nom de Callisthène se lit à plusieurs reprises dans ...cours de Démosthène. On manque de renseignements sur cet homme ...ue.

21. Χαρίδημον. Charidème, d'Orée (Eubée), chef de bandes mercenaires ... fut d'abord au service des ennemis d'Athènes, puis à celui d'Athènes ...me, est peut-être identique au Charidème dont il est ici question. Sur ...lui-ci, voyez, en tout cas, le passage d'Eschine cité note 4 du chap. XXII. Alexandre consentit à ce que les Athéniens ne le lui livrassent pas, et n'exigea que son bannissement. Charidème se rendit auprès de Darius, qui, après l'avoir d'abord bien accueilli, finit, à la suite de certaines intrigues, par le faire mettre à mort (333 av. J. C.). — Ailleurs (*Vie de Phocion*, XVII) Plutarque, mentionnant trois ou quatre des orateurs désignés par Alexandre, cite parmi ceux Hypéride, ici omis.

22. *Μακεδόνα μονόλυκον.* Démosthène appelait Alexandre *le loup solitaire de Macédoine*. — « Alias vocantur *μονοπεῖραι* et *μόνιοι*, genus luporum sævissimum et immansuetum, qui non, ut cæteri, turmatim, sed seorsim prædam venantur. *Ἀνθρωποφαγοῦσι μᾶλλον οἱ μονοπεῖραι τῶν λύκων* (Aristot. *Histor. animal.* lib. VIII, chap. v). »

23. *Ἀριστόβουλος ὁ Κασσανδρεύς.* Aristobule écrivit, dans sa vieillesse, à Cassandrie, ville fondée en 315 sur l'emplacement de l'ancienne Potidée, dans la presqu'île de Pallène (Macédoine), une histoire d'Alexandre à partir de la bataille d'Ipsus, dans laquelle il s'était attaché surtout à exposer la géographie physique et à décrire les mœurs des pays conquis par Alexandre; il avait fait avec lui la campagne de l'Inde. Aristobule est une des deux principales sources d'Arrien dans son *Anabase*.

24. *Λαβών*, c'est-à-dire ayant *accepté*.

ἔπεισε(25) καὶ παρῃτήσατο τοὺς ἄνδρας(26) ὁ Φωκίων(27) καὶ διήλλαξεν αὐτῷ τὴν πόλιν.

CHAPITRE XXIV.

Ἀπελθόντος δὲ Ἀλεξάνδρου, μεγάλοι μὲν ἦσαν οὗτοι(1), ταπεινὰ δ' ἔπραττεν(2) ὁ Δημοσθένης. Κινουμένῳ δ' Ἄγιδι τῷ Σπαρτιάτῃ βραχέα συνεκινήθη πάλιν, εἶτ' ἔπτηξε, τῶν μὲν Ἀθηναίων οὐ συνεξαναστάντων, τοῦ δ' Ἄγιδος πεσόντος καὶ τῶν Λακεδαιμονίων συντριβέντων(3).

Εἰσήχθη δὲ τότε καὶ ἡ περὶ τοῦ στεφάνου γραφὴ κατὰ Κτησιφῶντος, γραφεῖσα μὲν(4) ἐπὶ Χαιρώνδου ἄρχοντος μικρὸν ἐπάνω τῶν Χαιρωνικῶν, κριθεῖσα δ' ὕστερον ἔτεσι δέκα ἐπ' Ἀριστοφῶντος, γενομένη δὲ ὡς οὐδεμία τῶν δημοσίων περι-

---

25. Ἔπεισε, sous-entendu τὸν Ἀλέξανδρον.

26. Παρῃτήσατο τοὺς ἄνδρας, obtint la grâce des orateurs. — Justin (XI, 4) résume ainsi toute l'affaire: « *Bellum deprecantibus ita demum remisit ut oratores et duces, quorum fiducia totiens rebellent, sibi dedantur* . . . . *Eo res deducta est ut, retentis oratoribus, duces in exilium agerentur* ».

27. Ὁ Φωκίων. Plutarque raconte ces événements avec plus de détail dans la *Vie de Phocion* (chap. XVII). Alexandre, y est-il dit, tourna le dos aux premiers ambassadeurs athéniens. Mais, une seconde ambassade conduite par Phocion lui ayant été envoyée, il la reçut mieux, en considération de l'estime que son père avait toujours professée pour cet homme d'État: et Phocion obtint la grâce des orateurs.

Ch. XXIV] 1. Οὗτοι, c'est-à-dire Phocion et Démade.

2. Ταπεινὰ (comme serait ταπεινῶς) ἔπραττεν, était humble, abaissé; « se teint fort bas, » dit Amyot.

3. Τοῦ δ' Ἄγιδος . . . . συντριβέντων. Agis III, élu roi de Sparte en 338 av. J. C., fit alliance avec la Perse, lorsque Alexandre eut pénétré en Asie, en 333; opéra d'abord sur les côtes d'Asie Mineure et en Crète contre les Macédoniens, puis revint ouvrir la campagne contre eux en Grèce, au commencement de 330; remporta d'abord des succès, gagna presque tout le Péloponnèse à sa cause, moins Mégalopolis, devant laquelle il mit le siège. Antipater, lieutenant d'Alexandre, descendit dans le Péloponnèse à la tête de 40 000 hommes, et défit Agis (été 330). Du côté des Lacédémoniens, 5300 hommes et Agis lui-même périrent dans cette journée.

4. Ἡ περὶ τοῦ στεφάνου γραφὴ κατὰ Κτησιφῶντος. Ctésiphon avait proposé de récompenser les services rendus par Démosthène à l'État en lui décernant une couronne d'or. Eschine attaqua l'auteur de cette proposition, la prétendant portée contrairement à la légalité. Cette accusation fut déposée plus d'un an après la bataille de Chéronée, mais avant la mort de Philippe, sous l'archonte Phrynichos, en 337-336 av. J. C. (et non, comme dit Plutarque sous l'archonte Chærondas, c.-à-d. l'année d'avant). Eschine n'y donna pas suite immédiatement. Il la reprit sous l'archonte Aristophon, en 330-329. On voit que ἔτεσι δέκα est une façon de parler approximative et peu exacte.

βόητος(5) διά τε τὴν δόξαν τῶν λεγόντων καὶ τὴν τῶν δικαζόντων εὐγένειαν, οἳ τοῖς ἐλαύνουσι τὸν Δημοσθένην τότε πλεῖστον δυναμένοις καὶ μακεδονίζουσιν οὐ προήκαντο τὴν κατ' αὐτοῦ ψῆφον(6), ἀλλ' οὕτω λαμπρῶς ἀπέλυσαν, ὥστε τὸ πέμπτον μέρος τῶν ψήφων Αἰσχίνην μὴ μεταλαβεῖν(7). Ἐκεῖνος μὲν οὖν ἐκ τῆς πόλεως εὐθὺς ᾤχετ' ἀπιὼν καὶ περὶ Ῥόδον καὶ Ἰωνίαν σοφιστεύων(8) κατεβίωσε.

CHAPITRE XXV.

Μετ' οὐ πολὺ δ' Ἅρπαλος(1) ἧκεν ἐξ Ἀσίας εἰς Ἀθήνας ἀποδρὰς Ἀλέξανδρον, αὑτῷ τε πράγματα συνειδὼς πονηρὰ δι' ἀπιστίαν, κἀκεῖνον, ἤδη χαλεπὸν ὄντα τοῖς φίλοις, δεδοικώς. Καταφυγόντος δὲ πρὸς τὸν δῆμον αὐτοῦ καὶ μετὰ τῶν χρημάτων καὶ τῶν νεῶν αὑτὸν παραδιδόντος, οἱ μὲν ἄλλοι ῥήτορες εὐθὺς ἐποφθαλμιάσαντες πρὸς τὸν πλοῦτον ἐβοήθουν καὶ συνέπειθον τοὺς Ἀθηναίους δέχεσθαι καὶ σῴζειν τὸν ἱκέτην. Ὁ δὲ Δημοσθένης, πρῶτον μὲν ἀπελαύνειν συνεβούλευε τὸν Ἅρπαλον, καὶ φυλάττεσθαι μὴ τὴν πόλιν ἐμβάλωσιν εἰς πόλεμον ἐξ οὐκ ἀναγκαίας καὶ ἀδίκου προφάσεως(2)· ἡμέραις δ' ὀλίγαις ὕστερον, ἐξεταζομέ-

---

5. *Γενομένη δὲ ὡς οὐδεμία τῶν δημοσίων περιβόητος.* « Beaucoup d'auteurs parlent du retentissement extraordinaire de cette cause. Cicéron avait traduit (librement, *non ut interpres, sed ut orator*) en latin les deux harangues d'Eschine et de Démosthène, mais il ne nous en reste que la belle préface du traducteur, sous le titre: *De optimo genere oratorum.* »

6. On interprète ainsi ces mots: « *Τὴν κατ' αὐτοῦ ψῆφον* est dit avec concision pour *οὐ προήκαντο* (de *προΐημι*) *τὴν ψῆφον ὥστε γενέσθαι κατ' αὐτόν.* »

7. *Τὸ πέμπτον μέρος τῶν ψήφων Αἰσχίνην μὴ μεταλαβεῖν.* L'accusateur qui ne réunissait pas au moins la cinquième partie des voix en sa faveur était frappé d'une amende de 1000 drachmes, et déchu du droit d'intenter à l'avenir aucune autre accusation.

8. *Σοφιστεύων*, enseignant la rhétorique.

Ch. XXV]. 1. *Ἅρπαλος.* Diodore de Sicile, XVII, 108: *Ἅρπαλος δὲ τῶν ἐν Βαβυλῶνι θησαυρῶν καὶ τῶν προσόδων τὴν φυλακὴν πεπιστευμένος, ἐπειδὴ τάχιστα ὁ βασιλεὺς εἰς τὴν Ἰνδικὴν ἐστράτευσεν, ἀπέγνω τὴν ἐπάνοδον αὐτοῦ, δοὺς δ' αὑτὸν εἰς τρυφήν, ... πολλὰ τῆς γάζης ἀκρατεστάταις ἡδοναῖς κατανήλωσεν ... Τοῦ δ' Ἀλεξάνδρου μετὰ τὴν ἐξ Ἰνδῶν ἐπάνοδον πολλοὺς τῶν σατραπῶν κατηγορηθέντας ἀνελόντος, φοβηθεὶς τὴν τιμωρίαν, καὶ συσκευασάμενος ἀργυρίου μὲν τάλαντα πεντακισχίλια, μισθοφόρους δ' ἀθροίσας ἑξακισχιλίους, ἀπῆρεν ἐκ τῆς Ἀσίας καὶ κατέπλευσεν εἰς τὴν Ἀττικήν. Οὐδενὸς δ' αὐτῷ προσέχοντος, τοὺς μὲν μισθοφόρους ἀπέλιπε περὶ Ταίναρον τῆς Λακωνικῆς, αὐτὸς δὲ μέρος τῶν χρημάτων ἀναλαβὼν ἱκέτης ἐγένετο τοῦ δήμου.*

2. *Πρόφασις* passe quelquefois du sens de *prétexte* à celui de *motif.*

ἀπολογεῖσθαι καὶ πείθειν (17) οὐκ ἐώντος, ἀλλὰ χαλεπαίνοντος καὶ θορυβοῦντος, ἀναστάς τις ἔσκωψεν εἰπών· «Οὐκ ἀκούσεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ τὴν κύλικα ἔχοντος (18); » Τότε μὲν οὖν ἀπέπεμψαν ἐκ τῆς πόλεως τὸν Ἅρπαλον, δεδιότες δὲ μὴ λόγον ἀπαιτῶνται τῶν χρημάτων (19) ἃ διηρπάκεισαν οἱ ῥήτορες, ζήτησιν ἐποιοῦντο νεανικὴν (20), καὶ τὰς οἰκίας ἐπιόντες ἠρεύνων, πλὴν τῆς Καλλικλέους τοῦ Ἀρρενίδου (21) μόνης· τὴν δὲ τούτου νεωστὶ γεγαμηκότος οὐκ εἴασαν ἐλεγχθῆναι, νύμφης οὔσης ἔνδον (22), ὡς ἱστορεῖ Θεόφραστος.

CHAPITRE XXVI.

Ὁ δὲ Δημοσθένης ὁμόσε χωρῶν (1) εἰσήνεγκε ψήφισμα τὴν ἐξ Ἀρείου πάγου βουλὴν (2) ἐξετάσαι τὸ πρᾶγμα καὶ τοὺς ἐκείνῃ δόξαντας ἀδικεῖν δοῦναι δίκην. Ἐν δὲ πρώτοις αὐτοῦ τῆς βουλῆς ἐκείνης καταψηφισαμένης, εἰσῆλθε μὲν εἰς τὸ δικαστήριον (3), ὀφλὼν δὲ πεντήκοντα ταλάντων δίκην καὶ παραδοθεὶς (4) εἰς τὸ δεσμωτήριον, αἰσχύνῃ τῆς αἰτίας φησὶ (5) καὶ δι' ἀσθένειαν τοῦ

---

17. *Πείθειν*. Il ne faut pas oublier que, par exemple, *πείσας τὸν δῆμον* veut dire «ayant parlé au peuple, l'ayant harangué» (sans l'idée qu'on a ou qu'on n'a pas obtenu son suffrage).

18. *Τοῦ τὴν κύλικα ἔχοντος*. Dans les festins, la coupe passait de main en main et le tour de chanter était toujours à celui qui l'avait (c'est ce qui s'appelait *κυλικηγορεῖν*).

19. *Ἀπαιτῶ λόγον*, je demande compte; *ἀπαιτοῦμαι λόγον*, on me demande compte.

20. *Νεανικὴν* en parlant d'une perquisition prend le sens de *faite avec zèle*.

21. *Καλλικλέους τοῦ Ἀρρενίδου*. Ce Calliclès faisait la banque: à cela se borne ce qu'on sait sur son compte.

22. *Τὴν δὲ τούτου νεωστὶ γεγαμηκότος . . . . οὔσης ἔνδον*. «Vide verecundiam Atheniensium. Et Ulpianus libro II Pandect.: «*In jus*, inquit, *vocari non debet, qui uxorem ducit.*»

Ch. XXVI.] 1. *Ὁμόσε χωρῶν*, allant au-devant, se portant en avant (style militaire).

2. *Τὴν ἐξ Ἀρείου πάγου βουλήν*. L'Aréopage était, à Athènes, un tribunal correctionnel pour les délits et aussi une chambre d'instruction pour certains crimes. Il se composait de tous les anciens archontes sortis de charge et qui s'étaient acquittés honorablement de leurs fonctions. Il avait reçu son nom de la colline sur laquelle il siégeait, colline située à l'ouest de l'Acropole.

3. *Τὸ δικαστήριον*, le tribunal ordinaire, le jury.

4. *Παραδοθείς*. N'ayant pu payer l'amende considérable de cinquante talents, il subit la contrainte par corps.

5. *Αἰσχύνῃ τῆς αἰτίας φησί*. Dans la deuxième des lettres qui nous sont parvenues sous son nom: *Πρῶτον μὲν τοὔνειδος τῆς εἱρκτῆς χαλεπῶς τῷ*

— *καὶ τοὺς προσιόντας αὐτῷ καὶ συνδιατρίβοντας νεανίσκους ἀποτρέπειν*(12) *τῆς πολιτείας λέγων ὡς, εἰ, δυεῖν αὐτῷ προκειμένων ἀπ' ἀρχῆς ὁδῶν, τῆς μὲν ἐπὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν, τῆς δ' ἄντικρυς εἰς τὸν ὄλεθρον, ἐτύγχανε προειδὼς τὰ κατὰ τὴν πολιτείαν κακὰ καὶ φθόνους καὶ διαβολὰς καὶ ἀγωνίας*(13), *ἐπὶ ταύτην ἂν ὁρμῆσαι τὴν εὐθὺ*(14) *τοῦ θανάτου τείνουσαν.*

CHAPITRE XXVII.

Ἀλλὰ γὰρ ἔτι φεύγοντος αὐτοῦ τὴν εἰρημένην φυγὴν Ἀλέξανδρος μὲν ἐτελεύτησε(1), *τὰ δ' Ἑλληνικὰ συνίστατο πάλιν, Λεωσθένους*(2) *ἀνδραγαθοῦντος καὶ περιτειχίζοντος Ἀντίπατρον*(3) *ἐν Λαμίᾳ πολιορκούμενον*(4). *Πυθέας*(5) *μὲν οὖν ὁ ῥήτωρ καὶ Καλ-*

---

12. *Καὶ τοὺς προσιόντας αὐτῷ . . . . ἀποτρέπειν.* Cette phrase infinitive dépend encore de *λέγεται*: *λέγεται . . . εἰπεῖν . . ., καὶ ἀποτρέπειν λέγων. κτλ.*

13. *Ἀγωνίας*, transes.

14. *Εὐθύ, droit à*, «gouverne le génitif, comme la plupart des adverbes de lieu.»

Ch. XXVII.] 1. *Ἀλέξανδρος μὲν ἐτελεύτησε.* En 323 av. J. C. (entre le 24 avril et le 24 juin), à l'âge de 32 ans, au bout de 12 ans et quelques mois de règne.

2. *Λεωσθένους.* Léosthène, Athénien, bon général et habile orateur, avait été banni de sa patrie du vivant de Philippe, auprès de qui il trouva bon accueil; il suivit Alexandre en Asie, enrôlé dans le corps des *Ἑταῖροι.* Lorsque Alexandre voulut établir comme colons, en Asie, les mercenaires grecs qui avaient été à la solde de Darius et de ses satrapes, Léosthène quitta le service du roi et emmena en Europe, contrairement à la volonté de celui-ci, une bande d'environ cinquante mille mercenaires.

3. *Ἀντίπατρον.* Antipater, fils de Iollas, fut un des meilleurs généraux et des plus fidèles serviteurs de Philippe et d'Alexandre. Né en l'an 400 av. J. C., il prit déjà part aux campagnes du prédécesseur de Philippe, Perdiccas III (365-360 av. J. C.), en Illyrie. Philippe l'envoya plusieurs fois en ambassade à Athènes, l'employa dans les guerres de Thrace, au siège de Périnthe (340 av. J. C., etc.); il contribua grandement au succès de la journée de Chéronée. Il aida Alexandre à s'affermir sur le trône. Chargé du gouvernement et de la défense de la Macédoine pendant l'expédition du jeune roi en Asie, il remplit cette mission sans reproche; il comprima la révolte du Péloponnèse sous Agis III (voy. ci-dessus, chap. XXIV, note 3). Malgré ces bons services, Alexandre avait décidé de lui retirer ses fonctions de gouverneur de Macédoine, quand la mort le surprit lui-même. Antipater, dans la période troublée qui suivit, conserva le gouvernement incontesté de la Macédoine, et fut nommé, après la mort de Perdiccas, en 321, administrateur de l'empire. Il mourut de sa belle mort deux ans après (319 av. J. C.), avant le démembrement définitif de l'empire d'Alexandre.

4. *Ἐν Λαμίᾳ πολιορκούμενον.* A la mort d'Alexandre, les Athéniens et les Étoliens engagèrent 8000 des soldats de Léosthène, qui ne s'étaient

λιμέδων ὁ Κάραβος(6) ἐξ Ἀθηνῶν φεύγοντες Ἀντιπάτρῳ προσεγένοντο καὶ μετὰ τῶν ἐκείνου φίλων καὶ πρέσβεων περιϊόντες οὐκ εἴων(7) ἀφίστασθαι τοὺς Ἕλληνας οὐδὲ προσέχειν τοῖς Ἀθηναίοις· Δημοσθένης δὲ τοῖς ἐξ ἄστεος πρεσβεύουσι καταμίξας ἑαυτὸν ἠγωνίζετο καὶ συνέπραττεν, ὅπως αἱ πόλεις συνεπιθήσονται τοῖς Μακεδόσι καὶ συνεκβαλοῦσιν αὐτοὺς τῆς Ἑλλάδος. Ἐν δ' Ἀρκαδίᾳ καὶ λοιδορίαν τοῦ Πυθέου καὶ τοῦ Δημοσθένους γενέσθαι πρὸς ἀλλήλους εἴρηκεν ὁ Φύλαρχος(8) ἐν ἐκκλησίᾳ, τοῦ μὲν ὑπὲρ τῶν Μακεδόνων, τοῦ δ' ὑπὲρ τῶν Ἑλλήνων λέγοντος. Λέ[illegible] γεται δὲ τότε Πυθέαν εἰπεῖν ὅτι, καθάπερ οἰκίαν, εἰς ἣν ὄνει[illegible]ν εἰσφέρεται γάλα(9), κακόν τι πάντως ἔχειν νομίζομεν, οὕτω κ[illegible]ὶ πόλιν ἀνάγκη νοσεῖν, εἰς ἣν Ἀθηναίων πρεσβεία παραγίνεται· τ[illegible]ν δὲ Δημοσθένην τρέψαι τὸ παράδειγμα φήσαντα, καὶ τὸ γάλα [illegible]ὸ ὄνειον ἐφ' ὑγιείᾳ καὶ τοὺς Ἀθηναίους ἐπὶ σωτηρίᾳ παραγίνεσθ[illegible]αι τῶν νοσούντων(10). Ἐφ' οἷς ἡσθεὶς ὁ τῶν Ἀθηναίων δῆμ[illegible]ος ψηφίζεται τῷ Δημοσθένει κάθοδον.

---

pas encore dispersés. Léosthène les conduisit en Étolie, où 7000 Étoli[illegible]ens se réunirent à lui. Une armée athénienne forte de 5000 hoplites et [illegible]500 cavaliers nationaux, plus 2000 mercenaires vint faire sa jonction avec l[illegible]lui: les Thébains, qui voulaient s'opposer au passage de ces troupes, fur[illegible]rent culbutés. Antipater accourt de Macédoine pour comprimer le soulèvem[illegible]ent de la Grèce. Léosthène, à la tête de l'armée combinée, le bat à Héracl[illegible]lée, non loin des Thermopyles et le force à s'enfermer dans la place de Lam[illegible]mia, à l'entrée de la Thessalie. (Voy. la suite des opérations note 2 du ch[illegible]chap. XXVIII.)

5. *Πυθέας.* Sur Pythéas, voy. la note 9 du chap. VIII.

6. *Καλλιμέδων ὁ Κάραβος.* Callimédon était fameux, outre son tale[illegible] oratoire, par les bombances qu'il faisait. On l'avait surnommé *le Cra*[illegible] (*Κάραβος*) à cause de son goût pour les crabes (langoustes, homards, etc[illegible] Rentré à Athènes à la suite des troupes d'Antipater, il fut condamné [illegible] mort lors de la même révolution qui coûta la vie à Phocion (318 a[illegible] J. C.); mais il put s'échapper à temps de la ville. Plutarque l'appel[illegible] ailleurs *ἀνὴρ θρασὺς καὶ μισόδημος.*

7. *Οὐκ ἐᾶν*, dire qu'il ne faut point. — Amyot: «preschoient les Gre[illegible] de ne se remuer point.»

8. *Ὁ Φύλαρχος.* Phylarque, natif probablement de Naucratis (Égypte[illegible] Athénien (par naturalisation, s'il n'était point né de parents athéniens[illegible] contemporain d'Aratus († 213 av. J. C.). Il avait publié 28 livres d'hi[illegible]toires depuis l'invasion de Pyrrhus dans le Péloponnèse jusqu'à la mort d[illegible] Cléomène (272 à 220 av. J. C.). C'est une des sources de Plutarque pou[illegible] plusieurs de ses Biographies, et aussi de Trogue-Pompée (par suite, d[illegible] Justin).

9. *Εἰς ἣν ὄνειον εἰσφέρεται γάλα.* On ordonne du lait d'ânesse aux phthisiques et à ceux qui périssent de consomption.

10. *Τῶν νοσούντων* est à la fois le régime de *ἐφ' ὑγιείᾳ* et de *ἐπὶ σωτηρίᾳ.*

Τὸ μὲν οὖν ψήφισμα Δήμων ὁ Παιανιεύς, ἀνεψιὸς(11) ὢν Δημοσθένους, εἰσήνεγκεν· ἐπέμφθη δὲ τριήρης ἐπ' αὐτὸν(12) εἰς Αἴγιναν. Ἐκ δὲ Πειραιῶς ἀνέβαινεν οὔτε ἄρχοντος οὔτε ἱερέως ἀπολειφθέντος, ἀλλὰ καὶ τῶν ἄλλων πολιτῶν ὁμοῦ πάντων ἀπαντώντων καὶ δεχομένων προθύμως. Ὅτε καί(13) φησιν αὐτὸν ὁ Μάγνης Δημήτριος(14) ἀνατείναντα τὰς χεῖρας μακαρίσαι τῆς ἡμέρας ἐκείνης ἑαυτόν, ὡς βέλτιον Ἀλκιβιάδου κατιόντα(15)· πεπεισμένους γάρ, οὐ βεβιασμένους ὑπ' αὐτοῦ δέχεσθαι τοὺς πολίτας. Τῆς δὲ χρηματικῆς ζημίας αὐτῷ μενούσης (οὐ γὰρ ἐξῆν χάριτι λῦσαι καταδίκην) ἐσοφίσαντο πρὸς τὸν νόμον. Εἰωθότες γὰρ ἐν τῇ θυσίᾳ τοῦ Διὸς τοῦ Σωτῆρος ἀργύριον τελεῖν τοῖς κατασκευάζουσι καὶ κοσμοῦσι τὸν βωμόν, ἐκείνῳ τότε ταῦτα ποιῆσαι καὶ παρασχεῖν(16) πεντήκοντα ταλάντων ἐξέδωκαν(17), ὅσον ἦν τὸ τίμημα τῆς καταδίκης.

CHAPITRE XXVIII.

Οὐ μὴν ἐπὶ πολὺν χρόνον ἀπέλαυσε τῆς πατρίδος κατελθών,

---

11. *Ἀνεψιός.* Deux cousins germains sont *ἀνεψιοί.* Puis le sens de *ἀνεψιός* s'étend à des cousins d'un degré plus éloigné. Le Demon dont il est ici question est un «neveu à la mode de Bretagne» de Démosthène, savoir le fils de son cousin germain Demomelès. Le plaidoyer *contre Zenothemis* qui se trouve faire partie de la collection démosthénique a été prononcé devant les juges par ce Demon dans une cause qui lui était personnelle (affaire commerciale), et on croit que Demon l'avait rédigé lui-même.

12. *Ἐπέμφθη δὲ τριήρης ἐπ' αὐτόν.* Comp. *Vie d' Alcibiade* (§ 21): *Καὶ τέλος ἀπέστειλεν (ὁ δῆμος) τὴν Σαλαμινίαν ἐπ' αὐτὸν* (il s'agit d'Alcibiade, qui est en Sicile), ce qui veut dire que le peuple envoya le vaisseau Salaminia *pour le ramener*. De même ici.

13. *Ὅτε καί.* C'est dans cette circonstance que.

14. *Ὁ Μάγνης Δημήτριος.* Sur Demetrius de Magnésie, cf. la note 15 du chap. xv.

15. *Κατιέναι*, en parlant d'un exilé, *rentrer dans sa patrie.* — Le retour d'Alcibiade à Athènes après un exil de sept ans eut lieu au printemps de l'an 408 av. J. C. Alcibiade, après avoir été condamné à mort par contumace en 415, s'était mis pendant trois ans au service des ennemis de sa patrie; puis, pendant les trois ou quatre autres années, avait racheté cette trahison en rendant d'immenses services à Athènes et en rétablissant sa domination dans l'Hellespont par une série de succès remportés sur les Lacédémoniens.

16. «*Ταῦτα ποιῆσαι καὶ παρασχεῖν*, scil. *ornare* atque *instruere* aram Jovis Servatoris, et necessaria pompæ *praebere.*»

17. «*Ἐκδιδόναι* dicitur, cum respublica seu civitas alicui susceptori (*entrepreneur*) elocat opus faciendum certa mercede [*le prix, en grec, se met au génitif*], quæ merces ei ex ærario refundatur, postquam opus præstiterit.»

ἀλλὰ ταχὺ τῶν Ἑλληνικῶν πραγμάτων συντριβέντων Μεταγει
νιῶνος(1) *μὲν μηνὸς ἡ περὶ Κραννῶνα μάχη συνέπεσε, Βοηδρ*
μιῶνος δὲ παρῆλθεν εἰς Μουνυχίαν ἡ φρουρὰ(2), *Πυανεψιῶν*
δὲ Δημοσθένης ἀπέθανε τόνδε τὸν τρόπον. Ὡς Ἀντίπατρος κ
Κρατερὸς(3) *ἠγγέλλοντο προσιόντες ἐπὶ τὰς Ἀθήνας, οἱ μὲν πε*
τὸν Δημοσθένην(4) *φθάσαντες ὑπεξῆλθον ἐκ τῆς πόλεως, ὁ*
δῆμος αὐτῶν(5) *θάνατον κατέγνω Δημάδου γράψαντος.*

Ἄλλων δὲ ἀλλαχοῦ διασπαρέντων, ὁ Ἀντίπατρος περιέπεμ
τοὺς συλλαμβάνοντας, ὧν ἦν ἡγεμὼν Ἀρχίας ὁ κληθεὶς Φυγαδ
θήρας(6). *Τοῦτον δὲ Θούριον*(7) *ὄντα τῷ γένει λόγος ἔχει τραγ*
δίας ὑποκρίνεσθαί ποτε, καὶ τὸν Αἰγινήτην Πῶλον(8), *τὸν ὑπε*
βαλόντα τῇ τέχνῃ πάντας, ἐκείνου γεγονέναι μαθητὴν ἱστοροῦσ

Ch. XXVIII.] 1. *Μεταγειτνιῶνος . . . Βοηδρομιῶνος . . . . Πυανεψιῶν*
L'année attique commençait au solstice d'été; les mois commençaient
milieu des nôtres, et allaient du 15 au 15. *Metagitnion*, août/septembr
Boédromion, septembre/octobre ; *Pyanepsion*, octobre/novembre.

2. *Παρῆλθεν εἰς Μουνυχίαν ἡ φρουρά*. Léosthène tenait Antipater enferm
dans Lamia. Il est blessé mortellement en refoulant une sortie des assi
gés. Antiphile reçoit à sa place le commandement des forces grecque
qui diminuaient chaque jour. Il bat Léonnatos qui s'avançait au secou
de Lamia. Mais, à la faveur de cette diversion, Antipater est sorti d
la ville avec toute la garnison. Il rallie autour de ce noyau les restes d
corps d'armée vaincu, et il tient la campagne jusqu'à ce que, bientô
l'arrivée de Cratère avec des renforts lui permette de reprendre l'offensiv
Il défait, à son tour, les Grecs à Crannon (près de Larisse, la capitale d
la Thessalie). Antipater, alors, marche contre Athènes, qui cède et obtie
la paix à de dures conditions: elle renonce à sa constitution démocrat
que et reçoit une garnison macédonienne dans son port fortifié de M
nychie (322 av. J. C.).

3. *Κρατερός*. Cratère, l'un des meilleurs généraux d'Alexandre. Il reç
d'Alexandre, en 324, la mission de reconduire les vétérans en Macédoin
et était désigné par le roi pour prendre le gouvernement de ce pays, q
devait lui remettre Antipater. Avant qu'il n'eût atteint le rivage d'Europ
Alexandre étant mort, il s'unit à Antipater. Grâce lui, ce dernier sortit vai
queur de la guerre *Lamiaque*. En 321, ils passent ensemble en Asie po
combattre Perdiccas. Battu par Eumène en Cappadoce, Cratère périt da
la déroute.

4. *Οἱ μὲν περὶ τὸν Δημοσθένην*. Entendez: Démosthène et les autr
orateurs de son parti.

5. *Αὐτῶν* est le régime de *κατέγνω* (non de *θάνατον*).

6. *Ἀρχίας ὁ κληθεὶς Φυγαδοθήρας*. Aux renseignements que Plutarq
réunit ici sur Archias, ajoutons qu'une tradition rapportée par Arrien
faisait mourir dans la misère et le mépris.

7. *Θούριον*, habitant de Thurium (l'ancienne *Sybaris*), en Lucanie.

8. *Τὸν Αἰγινήτην Πῶλον*. Selon d'autres auteurs, Polus, fils de Chariclè
était natif de Sunium (Attique). Aulu-Gelle dit de lui (VII, 6): « *Histrio*
terra Graecia fuit fama celebri, qui gestus et vocis claritudine et venusta
ceteris antistabat: nomen fuisse aiunt Polum ; tragoedias poetarum nobiliu
scite atque asseverate actitavit, » etc.

Ἕρμιππος δὲ τὸν Ἀρχίαν ἐν τοῖς Λακρίτου [9] τοῦ ῥήτορος μαθηταῖς ἀναγράφει· Δημήτριος [10] δὲ τῆς Ἀναξιμένους [11] διατριβῆς μετεσχηκέναι φησὶν αὐτόν. Οὗτος οὖν ὁ Ἀρχίας Ὑπερείδην [12] μὲν τὸν ῥήτορα καὶ Ἀριστόνικον τὸν Μαραθώνιον [13] καὶ τὸν Δημητρίου τοῦ Φαληρέως ἀδελφὸν Ἱμεραῖον [14] ἐν Αἰγίνῃ καταφυγόντας ἐπὶ τὸ Αἰάκειον [15] ἔπεμψεν ἀποσπάσας εἰς Κλεωνὰς πρὸς Ἀντίπατρον· κἀκεῖ διεφθάρησαν, Ὑπερείδου δὲ καὶ τὴν γλῶτταν ἐκτμηθῆναι [16] ζῶντος λέγουσιν.

---

9. *Λακρίτου*. Lacrite de Phasélis (Pamphylie) avait été lui-même élève d'Isocrate vers 350 av. J. C. Il vécut à Athènes. Il y a dans la collection démosthénique un discours (qui n'est pas de Démosthène) écrit pour un certain Androclès qui plaidait contre Lacrite : il s'agissait de 3000 drachmes prêtées à la grosse par Androclès à un frère de Lacrite, et que le créancier réclamait à Lacrite après la mort du frère.

10. *Δημήτριος*. De Magnésie (celui qui vient d'être déjà cité, pages 345 et 367)? ou de Phalère?

11. *Ἀναξιμένους*. Anaximène, fils d'Aristoclès, de Lampsaque (en Mysie sur l'Hellespont), élève de Zoïle et de Diogène le Cynique, dut vivre environ de 390 à 320 av. J. C. Après avoir été établi à Athènes, on dit qu'il devint l'un des maîtres d'Alexandre le Grand et l'accompagna dans son expédition contre la Perse. Ses livres historiques sont perdus, savoir : une histoire de la Grèce depuis la création du monde, en 12 livres, 3 livres de *Φιλιππικά*, et au moins 2 livres sur le règne d'Alexandre. Anaximène jouit dans son temps d'une grande réputation comme rhéteur et sophiste. L'écrit pseudo-aristotélique connu sous le nom de *Rhétorique à Alexandre* est de lui.

12. *Ὑπερείδην*. Hypéride, fils de Glaucippe, du dème de Collyte, fut à peu près du même âge que Démosthène. Il écouta Platon et suivit le cours d'Isocrate. L'un des dix grands orateurs d'Athènes, il appartint toute sa vie, en politique, au parti antimacédonien. Outre quelques fragments recueillis dans divers auteurs, on a retrouvé au milieu de ce siècle-ci quatre discours d'Hypéride, plus ou moins complets, sur des papyrus dans des tombes en Égypte: 1° *Contre Démosthène* (dans l'affaire d'Harpale), 2° *Pour Lycophron*, 3° *Pour Euxénippe* (dans ces deux affaires, Hypéride avait Lycurgue pour adversaire), et 4° *Oraison funèbre* (*ἐπιτάφιος*) de Léosthène (voy. ci-dessus la note 2 du chap. XXVIII).

13. *Ἀριστόνικον τὸν Μαραθώνιον*. Dübner pense que l'Aristonicus dont il est ici question pourrait être le même qu' « Aristonicus de Phréarrhé (dans la tribu Léontide), lequel avait fait décerner une couronne à Démosthène et est mentionné plusieurs fois dans le discours *sur la Couronne* » (§§ 83, 223 et 312).

14. *Ἱμεραῖον*. « Himérée est cité parmi les accusateurs de Démosthène dans l'affaire d'Harpale, mais il n'en appartenait pas moins, ainsi qu'Hypéride, au parti ennemi de la Macédoine. »

15. *Τὸ Αἰάκειον*. Les Grecs, en reconnaissance de pluies qu'ils avaient obtenues du ciel grâce à l'intercession toute puissante d'Eaque, avaient institué à Egine ce lieu d'asile; Eaque lui-même prononça la malédiction contre qui le violerait. (Voyez Isocrate, *Evagoras*, § 14-15.) Ce sanctuaire existait encore du temps du voyageur Pausanias (IIe siècle ap. J. C.), qui le décrit ainsi: *Ἐν ἐπιφανεστάτῳ δὲ τῆς πόλεως τὸ Αἰάκειον καλούμενον, περίβολος τετράγωνος λευκοῦ λίθου.*

16. *Ὑπερείδου . . . τὴν γλῶτταν ἐκτμηθῆναι*. Selon une autre tradition,

CHAPITRE XXIX.

10. *Ὤικει περὶ τὸ Παλάτιον.* Boissier *Promenades archéologiques*, ch. II: «Le Palatin est une colline de près de 1800 mètres de circonférence et de 35 mètres de haut, qui est placée comme une sorte d'île au centre de celles dont la réunion a formé la ville éternelle. Quoiqu'elle soit la plus petite de toutes, «les autres, dit un écrivain, semblent l'entourer de leurs »hommages comme leur souveraine.» . . . C'est là que quelques-uns des plus illustres citoyens avaient établi leur demeure; ils tenaient à se loger le plus près possible du Forum et des affaires publiques. Nous connaissons la situation exacte de la plus illustre de toutes ces maisons, celle de Cicéron, s'il est vrai, comme le pensent MM. Visconti et Lanciani, qu'une grande construction dont on aperçoit les restes au coin du Vélabre appartenait au portique de Catulus; la maison de Cicéron, nous le savons, en devait être tout à fait voisine. Il était fier d'habiter sur le plus bel emplacement de Rome, *in pulcherrimo urbis loco*; il nous dit qu'il dominait de là le Forum, et que sa vue s'étendait sur tous les quartiers de la ville.»

11. *Ὑπὲρ τοῦ μὴ μακρὰν . . . αὐτόν.* Amyot: «A celle fin que ceux qui le viendroient visiter par honneur et qui luy feroient la cour, ne travaillassent pas tant d'aller si loing.»

δεῦρο(9) *μετενεγκάμενος τὸν βίον ἐκ τῆς ἀγορᾶς καὶ τῆς πολιτείας, ἐν ἡσυχίᾳ μετὰ φιλοσοφίας καταζῆν.*

Ἐπεὶ δ' αὐτῷ Σύλλας τε προσηγγέλθη τεθνηκώς, καὶ τὸ σῶμα τοῖς γυμνασίοις ἀναρρωννύμενον εἰς ἕξιν ἐβάδιζε νεανικήν, ἥ τε φωνὴ λαμβάνουσα πλάσιν ἡδεῖα μὲν πρὸς ἀκοὴν ἐτέθραπτο καὶ πολλή(10), *μετρίως δὲ πρὸς τὴν ἕξιν τοῦ σώματος ἥρμοστο*(11), *πολλὰ μὲν τῶν ἀπὸ Ῥώμης φίλων γραφόντων καὶ δεομένων, πολλὰ δ' Ἀντιόχου παρακελευομένου τοῖς κοινοῖς ἐπιβαλεῖν πράγμασιν, αὖθις ὥσπερ ὄργανον ἐξηρτύετο τὸν ῥητορικὸν λόγον καὶ ἀνεκίνει τὴν πολιτικὴν δύναμιν*(12), *αὑτόν τε ταῖς μελέταις διαπονῶν καὶ τοὺς ἐπαινουμένους μετιὼν ῥήτορας*(13). *Ὅθεν εἰς Ἀσίαν καὶ Ῥόδον ἔπλευσε, καὶ τῶν μὲν Ἀσιανῶν ῥητόρων Ξενοκλεῖ τῷ Ἀδραμυττηνῷ καὶ Διονυσίῳ τῷ Μάγνητι καὶ Μενίππῳ τῷ Καρὶ συνεσχόλασεν, ἐν δὲ Ῥόδῳ ῥήτορι μὲν Ἀπολλωνίῳ τῷ Μόλωνος*(14),

---

9. *Δεῦρο*, comme s'il y avait *εἰς ἐκεῖνα*.

10. *Ἡδεῖα ἐτέθραπτο καὶ πολλή*, sa voix s'était nourrie *au point d'être devenue* agréable et pleine. Mais Plutarque a dit, à la fin du chapitre III, que, déjà avant de partir pour la Grèce la voix de Cicéron était *πολλὴ μὲν καὶ ἀγαθή*. Ce n'est donc pas en Grèce quelle est devenue *πολλή*: et ce mot, dans le passage qui fait l'objet de cette note, doit être considéré comme le produit d'une altération du texte, à moins que l'on n'aime mieux admettre que Plutarque ait écrit cette page, comme il lui arrive, avec négligence. Le philologue Hanov a proposé, au lieu de *πολλή*, de lire *ποικίλη*, ce qui irait, en effet, assez bien.

11. Cf. la fin de la citation de la note 14 du prés. chap., où l'on voit, pour le dire en passant, que Plutarque continue tout le temps à altérer un peu le récit des faits, pour le mettre d'accord avec cette opinion que la crainte de Sylla aurait, pour un temps, détourné Cicéron de l'art oratoire.

12. *Ἀνεκίνει . . . . δύναμιν* « facultatem rerum publicarum tractandarum eousque sopitam suscitavit. »

13. Cicéron lui-même raconte dans le *Brutus* (chap. XC) qu'il étudia *simultanément* à Athènes l'éloquence et la philosophie: « *Cum venissem Athenas, sex menses cum Antiocho . . . nobilissimo et prudentissimo philosopho fui studiumque philosophiae nunquam intermissum a primaque adulescentia cultum et semper auctum hoc rursus summo auctore et doctore renovavi. Eodem tamen tempore Athenis apud Demetrium Syrum veterem et non ignobilem dicendi magistrum studiose exerceri solebam.* »

14. *Συσχολάζειν τινί*, *versari in alicujus schola*. Sur ces voyages, cf., dans le *Brutus*, ce qui vient à la suite du texte cité à la note précédente: « *Post a me Asia* (c'est-à-dire l'Asie Mineure) *tota peragrata est et summis quidem oratoribus usus sum, quibuscum exercebar ipsis lubentibus; quorum erat princeps Menippus Stratonicensis* (la ville de Stratonicée était en Carie) *meo judicio tota Asia illis temporibus disertissimus; et, si nihil habere molestiarum nec ineptiarum Atticorum est, hic orator in illis numerari recte potest. Adsiduissime autem mecum fuit Dionysius Magnes; erat etiam Æschylus Cnidius, Adramyttenus Xenocles. Hi tum in Asia rhetorum principes numerabantur. Quibus non contentus Rhodum veni meque ad eundem, quem Romae audiveram, Molonem applicavi . . . Ita recepi me biennio post non modo*

κατακλινεὶς ἀποθανεῖν. Τὸ δὲ πρᾶγμα τῷ Κικέρωνι δόξαν ἠ[illegible]νεγκεν ὡς ἐπιμελῶς βραβεύσαντι τὸ δικαστήριον(8).

Ἐπεὶ δὲ Οὐατίνιος, ἀνὴρ ἔχων τι τραχὺ καὶ πρὸς τοὺς ἄρχ[illegible]οντας ὀλίγωρον ἐν ταῖς συνηγορίαις, χοιράδων δὲ τὸν τράχη[illegible]λον περίπλεως, ᾐτεῖτό τι καταστὰς παρὰ τοῦ Κικέρωνος, καὶ μὴ [illegible]δι-δόντος, ἀλλὰ βουλευομένου πολὺν χρόνον, εἶπεν, ὡς οὐκ ἂν [illegible]τὸς γε διστάσειε περὶ τούτου στρατηγῶν, ἐπιστραφεὶς ὁ Κικέρ[illegible]ων «Ἀλλ' ἔγωγ'» εἶπεν «οὐκ ἔχω τηλικοῦτον τράχηλον(10).»

Ἔτι δ' ἡμέρας δύο ἢ τρεῖς ἔχοντι τῆς ἀρχῆς αὐτῷ προσή[illegible]γέ τις Μανίλιον εὐθύνων κλοπῆς. Ὁ δὲ Μανίλιος οὗτος εὔνοι[illegible]αν εἶχε καὶ σπουδὴν ὑπὸ τοῦ δήμου, δοκῶν ἐλαύνεσθαι διὰ Πο[illegible]μ-πήϊον· ἐκείνου γὰρ ἦν φίλος. Αἰτουμένου δ' ἡμέρας αὐτοῦ, μί[illegible]αν ὁ Κικέρων μόνην τὴν ἐπιοῦσαν ἔδωκε(11)*· καὶ ὁ δῆμος ἠγανά[illegible]κτησεν εἰθισμένων τῶν στρατηγῶν δέκα τοὐλάχιστον ἡμέρας δι[illegible]δό-*

---

8. Cicéron à Atticus (I, IV, 2): «*Nos hic incredibili et singulari pop[illegible]uli voluntate de C. Macro transegimus: cui quum aequi fuissemus, tamen m[illegible]lto majorem fructum ex populi existimatione illo damnato cepimus, quam [illegible] ex ipsius, si absolutus esset, gratia cepissemus.*»

9. P. Vatinius, P. F., contre qui Cicéron prononça plus tard le disco[illegible]urs que nous avons encore, *In P. Vatinium.*

10. Il y avait ici en latin, à ce qu'il semble, un double jeu de m[illegible]ts, d'abord sur *nutare*, puis sur *crassa cervix*. *Διστάζειν, être incertain, hési[illegible]r*, ne rend que l'un des deux sens du verbe «*nutare*», qui veut dire au[illegible]ssi *hocher la tête*. Vatinius a dû dire: «*Ego si praetor essem, non ita nutar[illegible]m* (je ne balancerais pas tant que cela).» — «Mais moi, repartit Cicéron, [illegible] je n'ai pas le cou si enflé» (sous-entendu: que Vatinius, pour m'empêcher [illegible]de hocher la tête). Il faut d'ailleurs se rappeler, en même temps, que *a*[illegible]*ir un gros cou* était une locution latine à peu près équivalente à notre [illegible]x-pression *avoir du front*, être impudent. Exemple (Plutarque, *Vie de* [illegible]a-*rius*, ch. XXIX): *Οὐχ οὕτω πλατὺν ἔφη φορεῖν τὸν τράχηλον ὡς προαπο*[illegible]*νέσθαι καθάπαξ εἰς πρᾶγμα τηλικοῦτον.* «Je n'ai pas le cou si enflé, rép[illegible]n-dait donc aussi Cicéron (s.-entendu: que Vatinius, pour prendre ainsi [illegible]ne décision sans rien considérer): *Ego vero non habeo tam crassas cervic*[illegible]. Cf. Cicér., *In Vatin.*, II, 4; et Sénèq. le rhéteur (*Excerpt. controvers.*, III, 1[illegible]): «*Non continui bilem et exclamavi: Si cloaca esses, maxima esses. Ri*[illegible]*omnium ingens; scholastici intueri me, quis essem qui tam crassas cerv*[illegible]*haberem.*»

11. *Αἰτουμένου δ' ἡμέρας αὐτοῦ . . . ἔδωκε.* Amyot: «Il demanda qu[illegible]el-ques jours pour respondre aux charges qu'on luy mettoit sus, et Cice[illegible]on ne luy bailla pour tout delay que le jour ensuivant seulement.» Tous [illegible]dé-tails manquent d'ailleurs sur ce procès de péculat intenté à Manilius. Ni ce que Plutarque en rapporte ici, ni ce qu'on lit chez Dion Cass[illegible]us (XXXVI, 42-44), — et l'on en est réduit au témoignage de ces deux [illegible]u-teurs, — ne permet de se faire une idée claire de ce qu'a été l'affa[illegible]re. Quant aux mots *καὶ καταστὰς πάλιν ἐξ ὑπαρχῆς*, à la fin du chapitre, ils se[illegible]m-blent indiquer que, dans une seconde cause, Cicéron prit de nouveau la défense de Manilius. Les interprètes entendent qu'il s'agit alors du [illegible]ro *lege Manilia*, sur lequel voy. la n. 12 du chap. VIII.

ναι τοῖς κινδυνεύουσι. Τῶν δὲ δημάρχων ἀγαγόντων αὐτὸν ἐπὶ τὸ βῆμα καὶ κατηγορούντων, ἀκουσθῆναι δεηθεὶς εἶπεν ὅτι, τοῖς κινδυνεύουσιν ἀεί, καθ' ὅσον οἱ νόμοι παρείχουσι, κεχρημένος ἐπιεικῶς καὶ φιλανθρώπως, δεινὸν ἡγεῖτο τῷ Μανιλίῳ ταὐτὰ(12) μὴ παρασχεῖν· ἧς οὖν ἔτι μόνης κύριος ἦν ἡμέρας στρατηγῶν, ταύτην ἐπίτηδες ὁρίσαι· τὸ γὰρ εἰς ἄλλον ἄρχοντα τὴν κρίσιν ἐκβαλεῖν οὐκ εἶναι βουλομένου βοηθεῖν. Ταῦτα λεχθέντα θαυμαστὴν ἐποίησε τοῦ δήμου μεταβολήν· καὶ πολλὰ κατευφημοῦντες ἐδέοντο(13) τὴν ὑπὲρ τοῦ Μανιλίου συνηγορίαν ἀναλαβεῖν. Ὁ δ' ὑπέστη προθύμως, οὐχ ἥκιστα διὰ Πομπήϊον ἀπόντα· καὶ καταστὰς πάλιν ἐξ ὑπαρχῆς(14) ἐδημηγόρησε, νεανικῶς τῶν ὀλιγαρχικῶν καὶ τῷ Πομπηΐῳ φθονούντων καθαπτόμενος(15).

CHAPITRE X.

Ἐπὶ δὲ τὴν ὑπατείαν(1) οὐχ ἧττον ὑπὸ τῶν ἀριστοκρατικῶν ἢ τῶν πολλῶν προήχθη διὰ τὴν πόλιν(2) ἐξ αἰτίας αὐτῷ τοιᾶσδε συναγωνισαμένων. Τῆς ὑπὸ Σύλλα γενομένης μεταβολῆς περὶ τὴν πολιτείαν ἐν ἀρχῇ μὲν ἀτόπου φανείσης, τότε δὲ τοῖς πολλοῖς ὑπὸ χρόνου καὶ συνηθείας ἤδη τινὰ κατάστασιν ἔχειν οὐ φαύλην δοκούσης, ἦσαν(3) οἱ τὰ παρόντα διασεῖσαι καὶ μεταθεῖναι ζητοῦντες ἰδίων ἕνεκα πλεονεξιῶν, οὐ πρὸς τὸ βέλτιον, Πομπηΐου μὲν ἔτι τοῖς βασιλεῦσιν(4) ἐν Πόντῳ καὶ Ἀρμενίᾳ διαπολεμοῦντος, ἐν δὲ τῇ Ῥώμῃ μηδεμιᾶς ὑφεστώσης πρὸς τοὺς νεωτερίζοντας ἀξιομάχου δυνάμεως. Οὗτοι κορυφαῖον εἶχον ἄνδρα τολμητὴν καὶ μεγαλοπράγμονα καὶ ποικίλον τὸ ἦθος, Λεύκιον Κατιλίναν, ὃς αἰτίαν ποτὲ πρὸς ἄλλοις ἀδικήμασι μεγάλοις ἔλαβε κτεῖναι ἀδελφὸν αὐτοῦ· καὶ δίκην ἐπὶ τούτῳ φοβούμενος

---

12. *Ταὐτά*, c.-à-d. *ἐπιείκειαν καὶ φιλανθρωπίαν*.
13. *Ἐδέοντο*, sous-entendu *Κικέρωνος*.
14. *Καταστάς*, « se présentant comme orateur. » (Amyot.) — *Πάλιν ἐξ ὑπαρχῆς*, locution pléonastique.
15. *Ἐδημηγόρησε, νεανικῶς . . . καθαπτόμενος*. Amyot: « Feit une belle harangue, en laquelle il parla bien aigrement et franchement à l'encontre des gros de la ville et de ceulx qui portoient envie à Pompeius. »

Ch. X.] 1. Cicéron brigua le consulat en l'an 64 av. J.-C., alors âgé de 43 ans, ce qui était la limite inférieure d'âge pour se porter candidat à cette charge: il entra en fonctions aux calendes de janvier 63.
2. *Διὰ τὴν πόλιν*, ob rei publicae salutem.
3. *Ἦσαν οἱ . . . ζητοῦντες*, il y avait des gens qui cherchaient.
4. *Βασιλεῦσιν*, Mithridate et Tigrane.

ἔπεισε Σύλλαν, ὡς ἔτι ζῶντα τὸν ἄνθρωπον ἐν τοῖς ἀπο[illegible]θα-νουμένοις προγράψαι (5). Τοῦτον οὖν προστάτην οἱ πονη[illegible]ροὶ λαβόντες, ἄλλας τε πίστεις ἔδοσαν ἀλλήλοις καὶ καταθύσα[illegible]ν-τες ἄνθρωπον ἐγεύσαντο τῶν σαρκῶν (6). Διέφθαρτο δ' ὑπ' α[illegible]ὐ-τοῦ πολὺ μέρος τῆς ἐν τῇ πόλει νεότητος, ἡδονὰς καὶ πότο[illegible]υς καὶ γυναικῶν ἔρωτας ἀεὶ προξενοῦντος ἑκάστῳ καὶ τὴν εἰς ταῦ[illegible]τα δαπάνην ἀφειδῶς παρασκευάζοντος. Ἐπῆρτο δ' ἥ τε Τυρρηνί[illegible]ια πρὸς ἀπόστασιν ὅλη καὶ τὰ πολλὰ τῆς ἐντὸς Ἄλπεων Γαλατίας[illegible]. Ἐπισφαλέστατα δ' ἡ Ῥώμη πρὸς μεταβολὴν εἶχε (7) διὰ τὴν ἐ[illegible] ταῖς οὐσίαις ἀνωμαλίαν, τῶν (8) μὲν ἐν δόξῃ μάλιστα καὶ φρονή-[illegible] ματι κατεπτωχευμένων εἰς θέατρα καὶ δεῖπνα καὶ φιλαρχίας κα[illegible] οἰκοδομίας, τῶν δὲ πλούτων εἰς ἀγεννεῖς καὶ ταπεινοὺς συνερρυη-κότων ἀνθρώπους, ὥστε μικρᾶς ῥοπῆς δεῖσθαι τὰ πράγματα κα[illegible] πᾶν εἶναι τοῦ τολμήσαντος ἐκστῆσαι (9) τὴν πολιτείαν, αὐτὴν (10) [illegible] ὑφ' αὑτῆς νοσοῦσαν.

CHAPITRE XI.

Οὐ μὴν ἀλλὰ βουλόμενος ὁ Κατιλίνας ἰσχυρὸν προκαταλαβεῖν [illegible] ὁρμητήριον, ὑπατείαν μετῄει· καὶ λαμπρὸς ἦν τοῖς ἐλπίσιν ὡ[illegible] Γαΐῳ Ἀντωνίῳ (1) συνυπατεύσων, ἀνδρὶ καθ' αὑτὸν μὲν οὔτε [illegible]

---

5. *Ἔπεισε Σύλλαν, ὡς ἔτι ζῶντα .. προγράψαι.* Amyot: « Il pria Sylla de le faire mettre au nombre des condemnez et proscripts comme s'il eust encore été vivant. » *Ἀποθανουμένοις* est au futur.

6. Salluste (*Conjuration de Catilina*, 22), dit: « *Fuere ea tempestate qui dicerent Catilinam, oratione habita, cum ad jusjurandum populares sceleris sui adigeret, humani corporis sanguinem vino permixtum in pateris circumtulisse: inde cum post execrationem omnes degustavissent, sicuti in solemnibus sacris fieri consuevit, aperuisse consilium suum.* »

7. *Ἐπισφαλέστατα . . . εἶχε.* Amyot: « Et si estoit la ville de Rome d'elle mesme en grand danger de mutation. » *Ἐπισφαλέστατα*, accusatif neutre jouant le rôle d'adverbe; la construction est analogue à *οὕτως ἔχω, je suis ainsi.*

8. Amyot paraphrase fort exactement cette phrase: « A cause que ceulx des plus nobles maisons et qui avoient le cueur plus grand avoient despendu (= dépensé) tous leurs patrimoines en jeux et festins, ou en edifices qu'ils faisoient bastir à leurs despends pour gaigner la grace du peuple à fin d'obtenir les magistrats (= magistratures), de sorte qu'ils en estoient devenus pauvres (*κατεπτωχευμένων*); et les richesses estoient devolües entre mains de petits personnages qui avoient les cueurs bas. »

9. *Ἐκστῆσαι, evertere.*

10. *Αὐτήν*, vu qu'elle, « la chose publique, *ὑφ' αὑτῆς νοσοῦσαν*, estoit corrompue et gastée au dedans de soymesme. » (Amyot.)

Ch. XI.] 1. *Γαΐῳ Ἀντωνίῳ.* C. Antonius Hybrida, frère de M. Antonius Creticus, et second fils du grand orateur M. Antonius C. F.

πρὸς τὸ βέλτιον οὔτε πρὸς τὸ χεῖρον ἡγεμονικῷ (2), προσθήκῃ δ' ἄγοντος ἑτέρου δυνάμεως ἐσομένῳ (3). Ταῦτα δὴ τῶν καλῶν καὶ ἀγαθῶν (4) οἱ πλεῖστοι προαισθόμενοι, τὸν Κικέρωνα προῆγον ἐπὶ τὴν ὑπατείαν· καί, τοῦ δήμου δεξαμένου προθύμως, ὁ μὲν Κατιλίνας ἐξέπεσε, Κικέρων δὲ καὶ Γάϊος Ἀντώνιος ᾑρέθησαν. Καίτοι τῶν μετιόντων ὁ Κικέρων μόνος ἦν ἐξ ἱππικοῦ πατρός, οὐ βουλευτοῦ, γεγονώς.

CHAPITRE XII.

Καὶ τὰ μὲν περὶ Κατιλίναν ἔμελλεν ἔτι, τοὺς πολλοὺς λανθάνοντα, προάγωνες(1) δὲ μεγάλοι τὴν Κικέρωνος πολιτείαν(2) ἐδέξαντο. Τοῦτο μὲν(3) γὰρ οἱ κεκωλυμένοι κατὰ τοὺς Σύλλα νόμους ἄρχειν(4), οὔτ' ἀσθενεῖς ὄντες οὔτ' ὀλίγοι, μετιόντες ἀρχὰς ἐδημαγώγουν, πολλὰ τῆς Σύλλα τυραννίδος ἀληθῆ μὲν καὶ δίκαια κατηγοροῦντες(5), οὐ μὴν ἐν δέοντι τὴν πολιτείαν οὐδὲ σὺν καιρῷ κινοῦντες· τοῦτο δὲ νόμους εἰσῆγον οἱ δήμαρχοι πρὸς τὴν αὐτὴν ὑπόθεσιν(6), δεκαδαρχίαν καθιστάντες ἀνδρῶν αὐτο-

---

2. *Ἡγεμονικῷ*, capable de mener, doué d'initiative.
3. *Προσθήκῃ, αγοντος ἑτέρου, δυνάμεως ἐσομένῳ*, qui doit, étant conduit par un autre, être (pour cet autre) une addition de force. Comp. ci-après la note 17 du chap. xx.
4. *Τῶν καλῶν καὶ αγαθῶν* signifie ici les bons citoyens. Amyot traduit ainsi toute la phrase: «Ce que prevoyans plusieurs gens de bien et d'honneur solliciterent Ciceron de demander le consulat, et, le peuple l'ayant aggréable (*καὶ τοῦ δήμου δεξαμένου προθύμως*, sous-entendu *αὐτόν*, c'est-à-dire Cicéron), Catilina vint par ce moyen à decheoir de son esperance.»

Ch. XII.] 1. *Προάγωνες*. «Plutarque appelle *προάγωνες* ce qui se fit avant que la conspiration n'éclatât: de ce moment commençait *ὁ ἀγών*.»
2. *Τὴν Κικέρωνος πολιτείαν*, l'administration de Cicéron.
3. *Τοῦτο μὲν . . ., τοῦτο δὲ*, d'une part . . ., de l'autre.
4. «Sylla avait exclu pour jamais des hautes magistratures les enfants des proscrits, par la loi Cornelia *de proscriptis*. En effet, ils pouvaient abuser de ce pouvoir pour venger leur famille, au lieu d'en user seulement pour le bien de la république. C'est ce que craignit Cicéron, et il le déclara ouvertement dans son discours (perdu) *de Proscriptorum liberis*, où il disait: «*Ita legibus Sullae continetur status civitatis ut, his solutis, stare ipsa non possit.*» Il prononça ce discours pendant son consulat, et ses paroles produisirent un effet qui fit dire à Pline l'Ancien, dans sa magnifique apostrophe à Cicéron: «*Te orante, proscriptorum liberos honores petere puduit.*»
5. *Πολλὰ . . . . κατηγοροῦντες*. Amyot: «Alleguant plusieurs choses justes et véritables contre la violente domination et tyrannie de Sylla.»
6. *Πρὸς τὴν αὐτὴν ὑπόθεσιν*, tendant au même but.

κρατόρων, οἷς ἐφεῖτο(7) πάσης μὲν Ἰταλίας, πάσης δὲ Συρίας καὶ ὅση διὰ Πομπηίου νεωστὶ προσώριστο, κυρίους ὄντας, πωλεῖν τὰ δημόσια, κρίνειν οὓς δοκοίη, φυγάδας ἐκβάλλειν(8), συνοικίζειν πόλεις, χρήματα λαμβάνειν ἐκ τοῦ ταμιείου, στρατιώτας τρέφειν καὶ καταλέγειν ὁπόσων δέοιντο. Διὸ καὶ τῷ νόμῳ προσεῖχον ἄλλοι τε τῶν ἐπιφανῶν καὶ πρῶτος Ἀντώνιος ὁ τοῦ Κικέρωνος συνάρχων, ὡς τῶν δέκα γενησόμενος(9). Ἐδόκει δὲ καὶ τὸν Κατιλίνα νεωτερισμὸν εἰδὼς οὐ δυσχεραίνειν ὑπὸ πλήθους δανείων· ὃ μάλιστα τοῖς ἀρίστοις φόβον παρεῖχε. Καὶ τοῦτον πρῶτον θεραπεύων ὁ Κικέρων, ἐκείνῳ μὲν(10) ἐψηφίσατο τῶν ἐπαρχιῶν Μακεδονίαν, αὐτῷ δὲ τὴν Γαλατίαν διδομένην παρῃτήσατο, καὶ κατειργάσατο τῇ χάριτι ταύτῃ τὸν Ἀντώνιον, ὥσπερ ὑποκριτὴν ἔμμισθον, αὐτῷ τὰ δεύτερα λέγειν ὑπὲρ τῆς πατρίδος(11).

Ὡς δ' οὗτος ἑαλώκει καὶ χειροήθης ἐγεγόνει(12), μᾶλλον ἤδη θαρρῶν ὁ Κικέρων ἐνίστατο πρὸς τοὺς καινοτομοῦντας. Ἐν μὲν οὖν τῇ βουλῇ κατηγορίαν τινὰ τοῦ νόμου διαθέμενος οὕτως ἐξέ-

---

7. *Οἷς ἐφεῖτο . . . . τὰ δημόσια.* Construisez: *Οἷς ἐφεῖτο πωλεῖν, κυρίους ὄντας, τὰ δημόσια πάσης μὲν Ἰταλίας κτλ.* Les mots *πάσης μὲν Ἰταλίας, πάσης δὲ . . . προσώριστο* sont, grammaticalement, un génitif partitif appartenant en propre à *τὰ δημόσια;* mais, pour le sens, l'idée «par toute l'Italie, par toute la Syrie, et encore par tous les pays et provinces que Pompeius avait nouvellement acquises à l'empire romain», domine toute la phrase et tombe, ainsi que *κυρίους ὄντας*, sur chacun des infinitifs *κρίνειν, ἐκβάλλειν*, aussi bien que sur *πωλεῖν*. — *Ὅση*, avec ellipse de *χώρα* ou *γῆ*. C'est comme s'il y avait *Καὶ τοσαύτης χώρας ὅση προσώριστο.*

8. *Φυγάδας ἐκβάλλειν*, chasser en exil. En les *chassant* (*ἐκβάλλειν*), on en fait des *exilés* (*φυγάδας*).

9. *Διὸ . . . . γενησόμενος.* Amyot: «Pour ceste grande puissance, il y avoit plusieurs hommes de qualité qui adheroient et favorisoient à ces loix, mesmement Antonius, compagnon de Ciceron, pource qu'il avoit esperance d'estre l'un de ces dix commissaires.» On a proposé de lire *γενησόμενοι*, qu'on attend, en effet, naturellement après ce qui précède: «en tant qu'*ils avaient* espérance de faire partie de ces dix commissaires.»

10. «La Macédoine, province riche, échue par le sort à Cicéron; mais il la céda à son collègue. Salluste (*Catilina*, 26) dit à ce sujet: «*Collegam »suum Antonium pactione provincia perpulerat ne contra rem publicam sen»tiret.*» Cicéron refusa le gouvernement de la Gaule qu'on lui donna à la place de la Macédoine, parce qu'il jugeait sa présence nécessaire à Rome; il le fit obtenir à Q. Metellus.»

11. *Τὰ δεύτερα λέγειν*, «terme de théâtre: jouer le second rôle, être *δευτεραγωνίστης*. Celui-ci était tenu de faire valoir, par son jeu, le rôle du *πρωταγωνίστης*» ou acteur principal. — «Luy faisant promettre, pour le bien de la chose publique (*ὑπὲρ τῆς πόλεως*), qu'il le seconderoit,» traduit Amyot.

12. *Ὡς ουτος χειροήθης ἐγεγόνει*, «quand Ciceron l'eut rendu maniable à sa vouluntė.» (Amyot.)

πληξεν αὐτοὺς τοὺς εἰσφέροντας, ὥστε μηδὲν ἀντιλέγειν[13]. Ἐπεὶ δ' αὖθις ἐπεχείρουν καὶ παρασκευασάμενοι[14] προεκαλοῦντο τοὺς ὑπάτους ἐπὶ τὸν δῆμον, οὐδὲν ὑποδείσας ὁ Κικέρων, ἀλλὰ τὴν βουλὴν ἕπεσθαι κελεύσας καὶ προσελθών, οὐ μόνον ἐκεῖνον ἐξέβαλε τὸν νόμον, ἀλλὰ καὶ τῶν ἄλλων ἀπογνῶναι τοὺς δημάρχους ἐποίησε, παρὰ τοσοῦτον τῷ λόγῳ κρατηθέντας ὑπ' αὐτοῦ[15].

CHAPITRE XIII.

Μάλιστα γὰρ οὗτος ὁ ἀνὴρ ἐπέδειξε Ῥωμαίοις ὅσον ἡδονῆς λόγος τῷ καλῷ[1] προστίθησι, καὶ ὅτι τὸ δίκαιον ἀήττητόν ἐστιν, ἂν ὀρθῶς λέγηται, καὶ δεῖ τὸν ἐμμελῶς πολιτευόμενον ἀεὶ τῷ μὲν ἔργῳ τὸ καλὸν ἀντὶ τοῦ κολακεύοντος αἱρεῖσθαι, τῷ δὲ λόγῳ τὸ λυποῦν ἀφαιρεῖν τοῦ συμφέροντος. Δεῖγμα δὲ αὐτοῦ[2] τῆς περὶ τὸν λόγον χάριτος καὶ τὸ παρὰ τὰς θέας[3] ἐν τῇ ὑπατείᾳ γενόμενον. Τῶν γὰρ ἱππικῶν πρότερον ἐν τοῖς θεάτροις αναμεμιγμένων τοῖς πολλοῖς καὶ μετὰ τοῦ δήμου θεωμένων ὡς ἔτυχε[4], πρῶτος διέκρινεν ἐπὶ τιμῇ[5] τοὺς ἱππέας ἀπὸ τῶν ἄλλων πολιτῶν Μάρκος Ὄθων στρατηγῶν[6], καὶ κατένειμεν ἐκείνοις ἰδίαν θέαν, ἣν ἔτι καὶ νῦν ἐξαίρετον[7] ἔχουσι. Τοῦτο πρὸς ἀτιμίας[8]

---

13. Ὥστε μηδένα ἀντιλέγειν, « qu'il n'y eût personne d'eulx qui luy ozast contredire. » (Amyot.)

14. Παρασκευασάμενοι, après avoir pris leurs mesures.

15. Παρὰ τοσοῦτον . . . αὐτοῦ « tant il les abaissa et supplanta par son eloquence. » La loi dont il s'agit et dont Plutarque a donné le résumé ci-dessus était la « loi agraire de Rullus ». Les trois discours que Cicéron prononça pour la faire repousser, le premier dans le sénat, et les deux autres dans l'assemblée du peuple, font partie de ses œuvres conservées.

Ch. XIII.] 1. Τῷ καλῷ, ici et plus bas, *le beau*. Puis τὸ δίκαιον, *le juste*; τὸ κολακεῦον, *le flatteur*, c'est-à-dire ce qui flatte (Amyot: « ce qui chatouille et flatte la multitude »); τὸ λυποῦν, *le chagrinant*, ce qui est désagréable; τὸ συμφέρον, *l'utile*. Amyot rend ainsi le dernier membre de phrase (τῷ δὲ λόγῳ): « Mais de paroles qu'il doit aussi chercher de faire que ce qui est utile ne soit desplaisant. »

2. Le génitif αὐτοῦ dépend de χάριτος.

3. Παρὰ τὰς θέας, aux jeux, pendant les jeux. Cf. n. 10 du ch. XX.

4. Ὡς ἔτυχε, comme cela se trouvait.

5. Ἐπὶ τιμῇ, *honoris causa*.

6. Ce personnage s'appelait *Lucius* Roscius Othon, et non *Marcus*; il n'était pas *préteur*, mais *tribun du peuple*. La loi dont il s'agit, proposée il y avait déjà quatre ans, venait enfin d'être adoptée; elle réservait les quatorze premiers gradins du théâtre pour les chevaliers.

7. Θέαν ἐξαίρετον, place privilégiée au spectacle.

8. Πρὸς ἀτιμίας (génitif singul.), *in partem contumeliae*, *pro contumelia accipere*.

ὁ δῆμος ἔλαβε, καί, φανέντος ἐν τῷ θεάτρῳ τοῦ Ὄθωνος, ἐφυ-
βρίζων ἐσύριττεν, οἱ δ' ἱππεῖς ὑπέλαβον κρότῳ τὸν ἄνδρα λαμ-
πρῶς. Αὖθις δὲ ὁ δῆμος ἐπέτεινε τὸν συριγμόν, εἶτα ἐκεῖν
τὸν κρότον. Ἐκ δὲ τούτου τραπόμενοι πρὸς ἀλλήλους ἐχρῶν
λοιδορίαις, καὶ τὸ θέατρον ἀκοσμία κατεῖχεν. Ἐπεὶ δ' ὁ Κικέρ
ἧκε πυθόμενος καὶ τὸν δῆμον ἐκκαλέσας πρὸς τὸ τῆς Ἐνυ
ἱερὸν(9) ἐπετίμησε καὶ παρῄνεσεν(10), οἵδ' ἀπελθόντες εἰς
θέατρον αὖθις ἐκρότουν τὸν Ὄθωνα λαμπρῶς καὶ πρὸς τοὺς
πέας ἅμιλλαν ἐποιοῦντο περὶ τιμῶν καὶ δόξης τοῦ ἀνδρός.

CHAPITRE XIV.

Ἡ δὲ περὶ τὸν Κατιλίναν συνωμοσία πτήξασα τὴν ἀρχὴ
αὖθις ἀνεθάρρει, καὶ συνῆγον(2) ἀλλήλους καὶ παρεκάλουν εὐτ
μότερον ἅπτεσθαι τῶν πραγμάτων, πρὶν ἐπανελθεῖν Πομ
ϊον(3), ἤδη λεγόμενον ὑποστρέφειν μετὰ τῆς δυνάμεως. Μάλι
δὲ τὸν Κατιλίναν ἐξηρέθιζον οἱ Σύλλα πάλαι στρατιῶται, δια
φυκότες(4) μὲν ὅλης τῆς Ἰταλίας, πλεῖστοι δὲ καὶ μαχιμώτα
ταῖς Τυρρηνικαῖς ἐγκατεσπαρμένοι πόλεσιν, ἁρπαγὰς πάλιν
διαφορήσεις πλούτων ἑτοίμων(5) ὀνειροπολοῦντες. Οὗτοι
ἡγεμόνα Μάλλιον(6) ἔχοντες, ἄνδρα τῶν ἐπιφανῶς ὑπὸ Σύ
στρατευσαμένων, συνίσταντο τῷ Κατιλίνᾳ καὶ παρῆσαν εἰς Ῥώ
συναρχαιρεσιάσοντες. Ὑπατείαν γὰρ αὖθις μετῄει, βεβουλευμέ
ἀνελεῖν τὸν Κικέρωνα περὶ αὐτὸν τὸν τῶν ἀρχαιρεσιῶν θόρυ
Ἐδόκει δὲ καὶ τὸ δαιμόνιον προσημαίνειν τὰ πρασσόμενα σ
μοῖς τε καὶ κεραυνοῖς καὶ φάσμασιν(7). Αἱ δ' ἀπ' ἀνθρώ
μηνύσεις(8) ἀληθεῖς μὲν ἦσαν, οὔπω δ' εἰς ἔλεγχον ἀποχρῶ

---

9. Le temple de Bellone était situé dans le Champ de Mars, ainsi
le théâtre de Pompée, où se passa la scène que raconte ici Plutarque
10. Le discours prononcé par Cicéron dans cette circonstance est pe
Ch. XIV.] 1. *Τὴν ἀρχήν*. expression adverbiale: *au commencement*.
2. *Συνῆγον*. Le sujet est « les conjurés » dont l'idée est comprise
ἡ περὶ τὸν Κατιλίναν συνωμοσία.
3. Voy. le chapitre x.
4. *Διαπεφυκότες* peut être paraphrasé ainsi: *Διαπεφυτευμένοι καὶ ἐρριζωμένοι δι' ὅλης τῆς Ἰταλίας*.
5. *Ἑτοίμων*, toutes prêtes à être pillées.
6. *C. Manlius*, selon Salluste (*Catilina*, 24 et suiv.).
7. *Αἱ ἀπ' ἀνθρώπων μηνύσεις*, les révélations venant des hommes
note 15 du ch. xix).
8. « On trouvera beaucoup de détails sur ces sinistres présages dans
IIIe Catilinaire (viii) et dans un long fragment du poème *De consu*
suo, cité au Ier livre *De Divinatione* (chap. xi, § 17 sq.) ».

κατ' ἀνδρὸς ἐνδόξου καὶ δυναμένου μέγα τοῦ Κατιλίνα. Διὸ τὴν ἡμέραν τῶν ἀρχαιρεσιῶν ὑπερθέμενος(9) ὁ Κικέρων ἐκάλει τὸν Κατιλίναν εἰς τὴν σύγκλητον καὶ περὶ τῶν λεγομένων(10) ἀνέκρινεν. Ὁ δὲ πολλοὺς οἰόμενος εἶναι τοὺς πραγμάτων καινῶν(11) ἐφιεμένους ἐν τῇ βουλῇ, καὶ ἅμα τοῖς συνωμόταις ἐνδεικνύμενος(12), ἀπεκρίνατο τῷ Κικέρωνι μανικὴν ἀπόκρισιν· « Τί » γάρ ἔφη « πράττω δεινόν, εἰ, δυεῖν σωμάτων ὄντων, τοῦ μὲν ἰσχνοῦ καὶ κατεφθινηκότος, ἔχοντος δὲ κεφαλήν, τοῦ δ' ἀκεφάλου μέν, ἰσχυροῦ δὲ καὶ μεγάλου, τούτῳ κεφαλὴν αὐτὸς ἐπιτίθημι(13); » Τούτων εἴς τε τὴν βουλὴν καὶ τὸν δῆμον ᾐνιγμένων ὑπ' αὐτοῦ, μᾶλλον ὁ Κικέρων ἔδεισε, καὶ τεθωρακισμένον αὐτὸν οἵ τε δυνατοὶ πάντες ἀπὸ τῆς οἰκίας καὶ τῶν νέων πολλοὶ κατήγαγον εἰς τὸ πεδίον(14). Τοῦ δὲ θώρακος ἐπίτηδες ὑπέφαινέ τι παραλύσας ἐκ τῶν ὤμων τοῦ χιτῶνος(15), ἐνδεικνύμενος τοῖς ὁρῶσι τὸν κίνδυνον. Οἱ δ' ἠγανάκτουν καὶ συνεστρέφοντο περὶ αὐτόν· καὶ τέλος ἐν ταῖς ψήφοις τὸν μὲν Κατιλίναν αὖθις ἐξέβαλον(16), εἵλοντο δὲ Σιλανὸν ὕπατον καὶ Μουρήναν(17).

---

9. Les comices pour l'élection des consuls de l'année 62 furent, à la suite d'un discours prononcé par Cicéron dans le sénat le 21 octobre 63, remis, au lieu du lendemain 22, au 28 du même mois.

10. Cicéron, *Pro Murena* (chap. xxv): « *Itaque postridie frequenti senatu Catilinam excitavi atque eum de his rebus jussi, si quid vellet, quae ad me allatae essent, dicere.* »

11. *Πραγμάτων καινῶν*, *res novae*, la révolution.

12. *Καὶ . . . . ἐνδεικνύμενος*. Amyot: « Et aussi se voulant monstrer prest à ceulx qui estoient de sa conjuration. »

13. Cicéron (*l. cit.*): « *Tum enim dixit duo corpora esse rei publicae, unum debile, infirmo capite: alterum firmum, sine capite: huic, quum ita de se meritum esset, caput se vivo non defuturum.* » Ἐμαυτὸν (et non αὐτὸς) ἐπιτίθημι donnerait un équivalent exact de ces derniers mots.

14. *Ἀπὸ τῆς οἰκίας . . . εἰς τὸ πεδίον*. Amyot: « A l'aller de son logis jusques au champ de Mars, où se faisoient les élections. »

15. Cicéron (*Muren.*, xxvi): « *Descendi in campum cum firmissimo praesidio fortissimorum virorum et cum illa lata insignique lorica, non quae me tegeret — etenim sciebam Catilinam non latus aut ventrem, sed caput et collum solere petere, — verum ut omnes boni animadverterent, et quum in metu et periculo consulem viderent, id quod est factum, ad opem praesidiumque concurrerent.* » Les mots *τοῦ δὲ θώρακος — τοῦ χιτῶνος*, dont l'équivalent se retrouve d'ailleurs chez Dion Cassius (XXXVII, 29), paraissent avoir pour origine les mots *non quae me tegeret* du texte de Cicéron, mal compris.

16. *Τέλος*, accusatif employé adverbialement, *enfin* (voy. la note 1 du prés. ch.). — *Ἐν ταῖς ψήφοις*, par ses votes, — *ἐξέβαλον*, le peuple repoussa.

17. D. Junius Silanus, et L. Licinius Murena. Silanus était beau-frère de Caton d'Utique. « Murena s'était distingué, sous Lucullus, dans la guerre contre Mithridate; or, le triomphe de ce général ayant eu lieu à l'époque

CHAPITRE XV.

Οὐ πολλῷ δ' ὕστερον τούτων, ἤδη τῷ Κατιλίνᾳ τῶν ἐν Τυρρηνίᾳ στρατιωτῶν συνερχομένων(1) *καὶ καταλοχιζομένων*(2), *καὶ τῆς ὡρισμένης πρὸς τὴν ἐπίθεσιν ἡμέρας ἐγγὺς οὔσης, ἧκον ἐπὶ τὴν Κικέρωνος οἰκίαν περὶ μέσας νύκτας ἄνδρες οἱ πρῶτοι καὶ δυνατώτατοι Ῥωμαίων, Μάρκος τε Κράσσος καὶ Μάρκος Μάρκελλος καὶ Σκηπίων Μέτελλος· κόψαντες δὲ τὰς θύρας καὶ καλέσαντες τὸν θυρωρὸν ἐκέλευον ἐπεγεῖραι καὶ φράσαι Κικέρωνι*(3) *τὴν παρουσίαν αὐτῶν. Ἦν δὲ τοιόνδε*(4)· *τῷ Κράσσ*[illegible]*ῳ μετὰ δεῖπνον ἐπιστολὰς ἀποδίδωσιν*(5) *ὁ θυρωρός, ὑπὸ* [illegible] *δή τινος ἀνθρώπου κομισθείσας ἀγνῶτος, ἄλλας ἄλλοις ἐπιγεγρα*[illegible]*μμένας, αὐτῷ δὲ Κράσσῳ μίαν ἀδέσποτον*(6). *Ἣν μόνην ἀναγνο*[illegible]*ὺς ὁ Κράσσος, ὡς ἔφραζε τὰ γράμματα φόνον γενησόμενον πολ*[illegible]*ὺν διὰ Κατιλίνα*(7) *καὶ παρῄνει τῆς πόλεως ὑπεξελθεῖν, τὰς ἄλ*[illegible]*ας οὐκ ἔλυσεν*(8), *ἀλλ' ἧκεν εὐθὺς πρὸς τὸν Κικέρωνα, πληγ*[illegible]*εὶς ὑπὸ τοῦ δεινοῦ καί τι καὶ τῆς αἰτίας ἀπολυόμενος, ἣν ἔ*[illegible]*χε διὰ φιλίαν τοῦ Κατιλίνα. Βουλευσάμενος οὖν ὁ Κικέρων* [illegible]*μ' ἡμέρᾳ βουλὴν συνήγαγε, καὶ τὰς ἐπιστολὰς κομίσας ἀπέδω*[illegible]*εν οἷς ἦσαν ἐπεσταλμέναι, κελεύσας φανερῶς ἀναγνῶναι*(9). *Πάσ*[illegible]*αι δ' ὁμοίως τὴν ἐπιβουλὴν ἔφραζον. Ἐπεὶ δὲ Κόϊντος Ἄρρι*[illegible]*ος,*

---

des comices, presque toute l'armée de Lucullus soutint la candidature [illegible] Murena. Accusé de brigue par Caton, il fut défendu par les trois pl[illegible] grands orateurs de Rome, Crassus, Hortensius et Cicéron. » Plusieu[illegible] passages du *Pro Murena* de Cicéron viennent d'être cités dans les not[illegible] précédentes.

Ch. XV.] 1. C'est à Fésules, un peu au nord de Florence, qu'était fi[illegible] le lieu principal de rendez-vous. Cf. Salluste (*Catil.*, 30) : « *Litteras Fa*[illegible]*sulis allatas . . ., in quibus scriptum erat C. Manlium arma cepisse cu*[illegible] *magna multitudine ante diem VI kalendas novembres.* » Cf. la fin du pr[illegible]sent chapitre.

2. *Καταλοχιζομένων*, s'organisant en compagnies (*λόχοι*). Plutarque appelle *λοχαγός* le *centurio* romain.

3. On ne saurait s'exprimer ainsi en français: « de réveiller et de dir[illegible] à Cicéron », pour: « de réveiller Cicéron et de *lui* dire. »

4. *Ἦν δὲ τοιόνδε*, voici ce qu'il y avait.

5. *Ἀποδίδωσιν*, présent de narration. En français: « lui avait remis. »

6. *Ἀδέσποτον*, anonyme. — « On sait, par un passage de la *Vie de Crassus* (ch. XIII), que Plutarque a trouvé ces détails dans l'« Histoire de son consulat », que Cicéron avait composée en grec. »

7. *Φόνον . . . Κατιλίνα*, « que bien tost il se devoit faire un fort grand meurtre en la ville par Catilina. » (Amyot.)

8. *Ἔλυσεν*. Les lettres chez les anciens étaient de petits rouleaux fermés par une ficelle ou un ruban, qu'on dénouait ou coupait pour ouvrir le rouleau.

9. *Φανερῶς ἀναγνῶναι*, « de les lire tout hault. » (Amyot.)

ἀνὴρ στρατηγικός, εἰσήγγελλε τοὺς ἐν Τυρρηνίᾳ καταλοχισμούς(10), καὶ Μάλλιος ἀπηγγέλλετο, σὺν χειρὶ μεγάλῃ περὶ τὰς πόλεις ἐκείνας αἰωρούμενος(11), ἀεί τι προσδοκῶν καινὸν ἀπὸ τῆς Ῥώμης, γίνεται δόγμα τῆς βουλῆς παρακαταθέσθαι(12) τοῖς ὑπάτοις τὰ πράγματα, δεξαμένους δ' ἐκείνους ὡς ἐπίστανται διοικεῖν καὶ σώζειν τὴν πόλιν. Τοῦτο δ' οὐ πολλάκις, ἀλλ' ὅταν τι μέγα δείσῃ, ποιεῖν εἴωθεν ἡ σύγκλητος.

CHAPITRE XVI.

Ἐπεὶ δὲ ταύτην λαβὼν τὴν ἐξουσίαν ὁ Κικέρων τὰ μὲν ἔξω πράγματα Κοΐντῳ Μετέλλῳ διεπίστευσε(1), τὴν δὲ πόλιν εἶχε διὰ χειρὸς(2) καὶ καθ' ἡμέραν προῄει δορυφορούμενος ὑπ' ἀνδρῶν τοσούτων τὸ πλῆθος, ὥστε τῆς ἀγορᾶς πολὺ μέρος κατέχειν, ἐμβάλλοντος αὐτοῦ(3), τοὺς παραπέμποντας, οὐκέτι καρτερῶν τὴν μέλλησιν ὁ Κατιλίνας αὐτὸς μὲν ἐκπηδᾶν ἔγνω πρὸς τὸν Μάλλιον ἐπὶ τὸ στράτευμα, Μάρκιον δὲ καὶ Κέθηγον(4) ἐκέλευσε ξίφη

---

10. *Καταλοχισμούς*. Voy. la note 2 du prés. chap.

11. *Αἰωρούμενος*, métaphore tirée du vautour qui plane dans les airs en attendant de fondre sur sa proie.

12. *Παρακαταθέσθαι*. Pour se rendre compte de cet infinitif et des suivants, *διοικεῖν*, *σώζειν*, il faut se rappeler la formule des décrets grecs: *Ἔδοξεν τῇ βουλῇ* (= *γίνεται δόγμα τῆς βουλῆς*) *παρακαταθέσθαι*, il a paru bon au sénat de mettre, *ou* qu'on remette les affaires aux mains des consuls, et que ceux-ci les ayant reçues, (et que ceux-ci, en prenant la charge,) administrent du mieux qu'ils sauront (*ὡς ἐπίστανται*) et sauvent la ville. C'est, en latin, la fameuse formule: « *Dent operam consules ne quid detrimenti res publica capiat.* » Le sénat ne pouvait confier à des magistrats de pouvoir plus étendu. « *Ea potestas*, dit Salluste (*Catilina*, 29), *per senatum more Romano magistratui maxuma permittitur, exercitum parare, bellum gerere, coercere omnibus modis socios atque cives, domi militiaeque imperium atque judicium summum habere: aliter sine populi jussu nullius earum rerum consuli jus est.* »

Ch. XVI.] 1. Voy. Cicéron, *IIe Catilinaire*, xii, 26: « *Q. Metellus, quem ego hoc prospiciens in agrum Gallicum Picenumque praemisi, aut opprimet hominem aut omnes ejus motus conatusque prohibebit.* » Comparez Salluste, *Catil.*, 30: « *Igitur senati decreto Q. Marcius Rex Faesulas, Q. Metellus Creticus in Apuliam circumque ea loca missi . . ., sed praetores Q. Pompeius Rufus Capuam, Q.* METELLUS CELER IN AGRUM PICENUM, *eisque permissum uti pro tempore atque periculo exercitum compararent.* » L'expression de Plutarque manque d'exactitude.

2. *Εἶχε διὰ χειρός* équivaut à *διεχείριζε*.

3. Le verbe *ἐμβάλλειν* marque que Cicéron et son cortège entraient dans la place publique en refoulant la multitude qui en encombrait l'accès.

4. *Μάρκιον καὶ Κέθηγον*. Plutarque fait erreur sur les noms. Les deux personnages dont il s'agit ici et qui s'étaient chargés d'assassiner Cicéron,

λαβόντας ἐλθεῖν ἐπὶ τὰς θύρας ἕωθεν ὡς ἀσπασομένους τ Κικέρωνα καὶ διαχρήσασθαι προσπεσόντας (5). Τοῦτο Φουλβία γυνὴ τῶν ἐπιφανῶν, ἐξήγγειλε τῷ Κικέρωνι, νυκτὸς ἐλθοῦσα διακελευσαμένη φυλάττεσθαι τοὺς περὶ τὸν Κέθηγον. Οἱ δ' ἧκ ἅμ' ἡμέρᾳ, καὶ κωλυθέντες εἰσελθεῖν ἠγανάκτουν καὶ κατεβό ἐπὶ ταῖς θύραις, ὥστε ὑποπτότεροι γενέσθαι. Προελθὼν δ' Κικέρων ἐκάλει τὴν σύγκλητον εἰς τὸ τοῦ Στησίου Διὸς ἱερ ὃν Στάτορα Ῥωμαῖοι καλοῦσιν, ἱδρυμένον ἐν ἀρχῇ τῆς Ἱερ ὁδοῦ, πρὸς τὸ Παλάτιον ἀνιόντων (7). Ἐνταῦθα καὶ τοῦ Κα λίνα μετὰ τῶν ἄλλων ἐλθόντος ὡς ἀπολογησομένου, συγκ θίσαι μὲν οὐδεὶς ὑπέμεινε τῶν συγκλητικῶν, ἀλλὰ πάντες ἀ τοῦ βάθρου μετῆλθον (8). Ἀρξάμενος δὲ λέγειν ἐθορυβεῖ καὶ τέλος ἀναστὰς ὁ Κικέρων (9) προσέταξεν (10) αὐτῷ τῆς πόλε ἀπαλλάττεσθαι· δεῖν γὰρ αὐτοῦ μὲν ἐν λόγοις, ἐκείνου δ' ἐν πλοις πολιτευομένου μέσον εἶναι τὸ τεῖχος (11). Ὁ μὲν οὖν Κα

étaient C. Cornelius, chevalier romain (voy. Cicéron, *Pro Sulla* VI, 18 XVIII, 52; Salluste, *Cat.*, 28), et L. Vargunteius, sénateur (Salluste, *ibi*

5. Salluste, *ibid.*: « *Sicuti salutatum introire ad Ciceronem ac de imp viso domui suae imparatum confodere.* »

6. Cf. Salluste, *ib.*, 23 et 26.

7. *Ἱδρυμένον . . . . ἀνιόντων.* Amyot traduit exactement: « Lequel situé à l'entrée de la rue Sacrée, ainsi que l'on monte au mont Palati La *via Sacra*, d'ailleurs, ne montait pas au Palatin: Plutarque ne s' pas exprimé avec une suffisante clarté. « Vers l'arc de Titus, dit M. Bo sier (*Promenades archéologiques*, chap. II), une rue se détache de la v Sacrée et monte droit vers la colline (du Palatin) . . .: c'était la rue montée Palatine, *clivus Palatinus*. A peine s'y est-on engagé qu'on r contre les assises encore visibles d'une grande porte . . . » C'était la *Ve porta* ou *porta Mugonia*, percée dans l'enceinte de Romulus. En fouill à droite de cette porte, on a retrouvé, il y a une vingtaine d'années, fondations d'un très ancien temple. « Ce temple, on n'en peut guère d ter, est celui de Jupiter Stator, un des plus célèbres de Rome, et jusqu'ici les archéologues mettaient à leur fantaisie un peu partout, fa d'en savoir l'emplacement véritable. » — *Ἀνιόντων*, génitif abso *lorsqu'on monte* au Palatin.

8. *Συγκαθίσαι . . . μετῆλθον.* Cicéron, *Ire Catilinaire*, VII, 16: « *Adve tuo ista subsellia vacuefacta sunt, . . omnes consulares, qui tibi persa ad caedem constituti fuerunt, simul atque adsedisti, partem istam subsell rum nudam atque inanem reliquerunt.* »

9. C'est dans cette occasion qu'il prononça la *Ire Catilinaire.*

10. *Προσέταξεν* est une expression inexacte. Cicéron ne donna poin Catilina l'ordre de quitter la ville, ce qui eût pu être considéré com un abus de pouvoir: il le lui conseilla. On peut encore lire son d cours, qui est conservé. Cicéron dévoila, en présence de Catilina, toute conjuration; et celui-ci, épouvanté de voir le complot percé à jour, et se sentant plus en sûreté à Rome, s'empressa de sortir de la ville.

11. Cicéron, *Ire Catil.*, V, 10. » *Magno me metu liberabis, dummodo in me atque te murus intersit.* »

λίνας εὐθὺς ἐξελθὼν μετὰ τριακοσίων ὁπλοφόρων, καὶ περιστησάμενος αὐτῷ ῥαβδουχίας ὡς ἄρχοντι καὶ πελέκεις, καὶ σημαίας ἐπαιρόμενος, πρὸς τὸν Μάλλιον ἐχώρει· καί, δισμυρίων ὁμοῦ τε συνηθροισμένων, ἐπῄει τὰς πόλεις ἀφιστὰς καὶ ἀναπείθων, ὥστε, τοῦ πολέμου φανεροῦ γεγονότος, τὸν Ἀντώνιον ἀποσταλῆναι διαμαχούμενον.

CHAPITRE XVII.

Τοὺς δ' ὑπολειφθέντας ἐν τῇ πόλει τῶν διεφθαρμένων ὑπὸ τοῦ Κατιλίνα συνῆγε καὶ παρεθάρρυνε Κορνήλιος Λέντλος, Σούρας ἐπίκλησιν, ἀνὴρ γένους μὲν ἐνδόξου, βεβιωκὼς δὲ φαύλως καὶ δι' ἀσέλγειαν ἐξεληλαμένος τῆς βουλῆς πρότερον, τότε δὲ στρατηγῶν τὸ δεύτερον, ὡς ἔθος ἐστὶ τοῖς ἐξ ὑπαρχῆς ἀνακτωμένοις τὸ βουλευτικὸν ἀξίωμα(1). Λέγεται δὲ καὶ τὴν ἐπίκλησιν αὐτῷ γενέσθαι τὸν Σούραν ἐκ τοιαύτης αἰτίας. Ἐν τοῖς κατὰ Σύλλαν χρόνοις ταμιεύων, συχνὰ τῶν δημοσίων χρημάτων ἀπώλεσε καὶ διέφθειρεν. Ἀγανακτοῦντος δὲ τοῦ Σύλλα καὶ λόγον ἀπαιτοῦντος ἐν τῇ συγκλήτῳ, προσελθὼν ὀλιγώρως πάνυ καὶ καταφρονητικῶς, λόγον μὲν οὐκ ἔφη διδόναι, παρεῖχε δὲ τὴν κνήμην, ὥσπερ εἰώθασιν οἱ παῖδες, ὅταν ἐν τῷ σφαιρίζειν διαμάρτωσιν(2). Ἐκ τούτου(3) Σούρας παρωνομάσθη· σούραν γὰρ οἱ Ῥωμαῖοι τὴν κνήμην λέγουσι. Πάλιν δὲ δίκην ἔχων καὶ διαφθείρας ἐνίους τῶν δικαστῶν, ἐπεὶ δυσὶ μόναις ἀπέφυγε ψήφοις, ἔφη παρανάλωμα γεγονέναι τὸ θατέρῳ κριτῇ δοθέν· ἀρκεῖν γὰρ εἰ καὶ μιᾷ ψήφῳ πλέον ἀπελύθη(4). Τοῦτον, ὄντα τῇ φύσει τοιοῦτον καὶ κεκινη-

Ch. XVII.] 1. « Quand un sénateur s'était par sa conduite, rendu indigne de faire partie du sénat, les censeurs avaient le droit de l'exclure, lors de leur révision de la liste sénatoriale; le sénateur ainsi déchu était dit *senatu motus*. Il n'y avait point de déshonneur permanent attaché à cette peine disciplinaire; il restait possible à l'intéressé de reconquérir son rang de sénateur, soit en se faisant de nouveau élire à une charge qui conférait de droit l'admission au sénat, soit en obtenant des censeurs qui succédaient à ceux qui avaient fait la radiation, la réintégration pure et simple. »

2. « In ludo puerili pilae, qui peccaverat, *suram* dabat, nimirum crus prolatum pila feriendum dabat. » (Turnèbe.)

3. On a pourtant remarqué (Wolf's *Literar. Analekten*, I, 509) que ce Lentulus n'est pas le premier personnage de la famille qui ait porté le *cognomen* de Sura.

4. Ἐπεὶ . . . ἀπελύθη. Amyot : « Et ayant esté absouls par deux voix de plus tant seulement qu'il eut en sa faveur, il dit qu'il avoit perdu l'argent qu'il avoit baillé à l'un de ces deux juges-là, pour ce que luy estoit assez d'estre absouls par une seule voix de plus. »

μένον ὑπὸ τοῦ Κατιλίνα, προσδιέφθειραν ἐλπίσι κεναῖς ψευδομάντεις καὶ γόητες πεπλασμένα καὶ χρησμοὺς ᾄδοντες, ὡς ἐκ τῶν Σιβυλλείων(5), *προδηλοῦντας εἱμαρμένους εἶναι τῇ Ῥώμῃ Κορνηλίους τρεῖς μονάρχους· ὧν δύο μὲν ἤδη πεπληρωκέναι*(6) *τὸ χρεών, Κίνναν τε καὶ Σύλλαν, τρίτῳ δὲ λοιπῷ Κορνηλίῳ ἐκείνῳ φέροντα τὴν μοναρχίαν ἥκειν τὸν δαίμονα, καὶ δεῖν πάντως δέχεσθαι καὶ μὴ διαφθείρειν μέλλοντα τοὺς καιρούς*(7), *ὥσπερ Κατιλίναν.*

CHAPITRE XVIII.

Οὐδὲν οὖν ἐπενόει κακὸν ὁ Λέντλος ἰάσιμον, ἀλλ' ἐδέδοκτο(1) *τὴν βουλὴν ἅπασαν ἀναιρεῖν καὶ τῶν ἄλλων πολιτῶν ὅσους [illegible] δύναιντο, τήν τε πόλιν αὐτὴν κατεμπιμπράναι*(2), *φείδεσθαι [illegible] τε μηδενὸς ἢ τῶν Πομπηΐου τέκνων· ταῦτα*(3) *δ' ἐξαρπασαμ[illegible]ους ἔχειν ὑφ' αὑτοῖς καὶ φυλάττειν ὅμηρα τῶν πρὸς Πομπήϊον [illegible]διαλύσεων· ἤδη γὰρ ἐφοίτα πολὺς λόγος καὶ βέβαιος ὑπὲρ α[illegible]τοῦ κατιόντος ἀπὸ τῆς μεγάλης στρατείας*(4). *Καὶ νὺξ μὲν ὡρ[illegible]το πρὸς τὴν ἐπίθεσιν μία τῶν Κρονιάδων*(5), *ξίφη δὲ καὶ στυπ[illegible]ιον καὶ θεῖον εἰς τὴν Κεθήγου*(6) *φέροντες οἰκίαν ἀπέκρυψαν.*

---

5. *Ὡς ἐκ τῶν Σιβυλλείων*, « qu'ilz disoient estre extraittes des livres de la Sibylle. » (Amyot.)

6. *Πεπληρωκέναι.* Cet infinitif et les suivants, *ἥκειν* et *δεῖν*, dépendent des mots *ἔλεγον οἱ ψευδομάντεις* sous-entendus, et dont l'idée, contenue dans *προσδιέφθειραν ἐλπίσι κτλ.*, domine toute la phrase.

7. *Διαφθείρειν μέλλοντα τοὺς καιρούς*, « laisser perdre les occasions en trop dilayant. » (Amyot.)

Ch. XVIII.] 1. *Ἐδέδοκτο*, « visum erat *eis*, » les conjurés avaient décidé.

2. Cicéron, *IIIe Catil.*, IV, 8 : « *Quum urbem ex omnibus partibus, quemadmodum descriptum distributumque erat, incendissent caedemque infinitam civium fecissent,* » etc.

3. *Ταῦτα* (*τὰ τέκνα*).

4. *Ἤδη . . . στρατείας.* Amyot : « Car il estoit jà grand bruit, et le tenoit on pour tout asseuré, qu'il retournoit des grandes guerres et conquestes qu'il avoit faictes ès païs d'Orient. » Comp. *Vie de Démosth.*, ch. I, p. 317 : *ὡς ὁ πολὺς κρατεῖ λόγος.*

5. Originairement, et encore au moment de la conjuration de Catilina, les Saturnales ne duraient qu'un jour : cette fête tombait alors le 19 décembre. A la suite de la réforme du calendrier par Jules César, elle fut reportée au 17 décembre. Puis, sous Auguste, pour rendre au 19 ses anciennes prérogatives, on fit durer les Saturnales trois jours, du 17 au 19. Tibère les prolongea encore d'un jour, et enfin Caligula permit un cinquième jour. — En disant *μία τῶν Κρονιάδων*, Plutarque commet un anachronisme.

6. C. Cethegus (de la *gens* Cornelia), ne semble avoir rempli d'autre charge que la questure, à la suite de quoi il était entré au sénat.

δρας δὲ τάξαντες ἑκατὸν καὶ μέρη τοσαῦτα τῆς Ῥώμης(7), *ἕκαστον ἐφ' ἑκάστῳ διεκλήρωσαν, ὡς δι' ὀλίγου πολλῶν αναψάντων φλέγοιτο πανταχόθεν ἡ πόλις. Ἄλλοι δὲ τοὺς ὀχετοὺς ἔμελλον ἐμφράξαντες ἀποσφάττειν τοὺς ὑδρευομένους*(8).

Πραττομένων δὲ τούτων, ἔτυχον ἐπιδημοῦντες Ἀλλοβρίγων(9) *δύο πρέσβεις, ἔθνους μάλιστα δὴ τότε πονηρὰ πράττοντος*(10) *καὶ βαρυνομένου*(11) *τὴν ἡγεμονίαν. Τούτους οἱ περὶ Λέντλον ὠφελίμους ἡγούμενοι πρὸς τὸ κινῆσαι καὶ μεταβαλεῖν τὴν Γαλατίαν ἐποιήσαντο συνωμότας. Καὶ γράμματα μὲν αὐτοῖς πρὸς τὴν ἐκεῖ βουλήν*(12), *γράμματα δὲ πρὸς Κατιλίναν ἔδοσαν, τῇ μὲν*(13) *ὑπισχνούμενοι τὴν ἐλευθερίαν, τὸν δὲ Κατιλίναν παρακαλοῦντες λευθερώσαντα τοὺς δούλους ἐπὶ τὴν Ῥώμην ἐλαύνειν. Συναπέτελλον δὲ πρὸς Κατιλίναν μετ' αὐτῶν Τίτον τινὰ Κροτωνιάτην*(14) *κομίζοντα τὰς ἐπιστολάς. Οἷα δ' ἀνθρώπων ἀσταθμήτων αἱ μετ' οἴνου τὰ πολλὰ καὶ γυναικῶν ἀλλήλοις ἐντυγχανόντων ουλεύματα πόνῳ καὶ λογισμῷ νήφοντι καὶ συνέσει περιττῇ διώκων ὁ Κικέρων*(15), *καὶ πολλοὺς μὲν ἔχων ἔξωθεν ἐπισκοποῦντας ὰ πραττόμενα καὶ συνεξιχνεύοντας αὐτῷ, πολλοῖς δὲ τῶν μετέειν τῆς συνωμοσίας δοκούντων διαλεγόμενος κρύφα καὶ πιστοὺς*

---

7. Salluste, *Catil.*, 43: «*Statilius et Gabinius uti cum magna manu* DUODECIM *simul opportuna loca urbis incenderent.*» Appien, *Guerres civiles*, 3: *Ἑτέρους ἐν δυώδεκα τόποις ἐμπιμπράναι τὴν πόλιν καὶ διαρπάζειν, κὰ κατακτείνειν τοὺς ἀρίστους.* — Le mot *ἑκατόν*, dans le texte de Plutarque, semble être une faute de copie pour *δωδέκατον*.

8. *Ἄλλοι . . . ὑδρευομένους*. Amyot: «Il y avoit d'autres hommes comis pour estoupper les canaulx et conduits *par où l'eau venoit en la ville*, et occire aussi ceulx qui vouldroient prendre de l'eau *pour esteindre feu.*»

9. Les Allobroges, peuple de la Gaule Narbonaise, habitaient une partie du Dauphiné et presque toute la Savoie. — Pour les détails de cet épisode de la conjuration, voyez les chapitres 40 - 45 de Salluste.

10. *Πονηρὰ πράττοντος*, se trouvant dans une situation misérable (à cause des dettes dont ils étaient accablés).

11. *Βαρυνομένου* est construit et doit s'entendre comme *βαρέως φέροντος*.

12. *Τὴν ἐκεῖ βουλήν*, «le conseil de leur pays.» (Amyot.)

13. *Τῇ μὲν βουλῇ*, c'est-à-dire *τῇ ἐκεῖ*.

14. *Τίτον τινὰ Κροτωνιάτην*. Il arrive quelquefois à Plutarque de désigner ainsi des personnes, simplement par leur prénom suivi du nom de leur ville natale (p. ex. au chapitre XXIX, *διὰ Τύλλου τινὸς Ταραντίνου*). Le nom de ce «Titus de Crotone» était Vulturcius, à ce que nous apprennent Salluste (44), Cicéron (*IIIe Catil.* II, 4) et Appien (*Guerres civiles*, II, 4).

15. *Οἷα δ' ἀνθρώπων . . . . διώκων ὁ Κικέρων*. Construisez: *Ὁ δὲ Κικέρων, διώκων πόνῳ κτλ. . . . .* (*τούτων τὰ*) *βουλεύματα* (*τοιαῦτα ὄντα*) *οἷα ἀνθρώπων κτλ. . . . .* Amyot: «Mais tous leurs conseilz et toutes leurs délibérations, comme d'hommes étourdis, qui ne se trouvoient jamais en-

εὑρών(16), *ἔγνω τὴν πρὸς τοὺς ξένους*(17) *κοινολογίαν· καὶ νυκτὸς ἐνεδρεύσας ἔλαβε τὸν Κροτωνιάτην καὶ τὰ γράμματα, συνεργούντων ἀδήλως τῶν Ἀλλοβρίγων.*

CHAPITRE XIX.

Ἅμα δ' ἡμέρᾳ βουλὴν ἀθροίσας εἰς τὸ τῆς Ὁμονοίας ἱερόν(1) *ἐξανέγνω τὰ γράμματα, καὶ τῶν μηνυτῶν διήκουσεν. Ἔφη δὲ κα Σιλανὸς Ἰούνιος*(2) *ἀκηκοέναι τινὰς Κεθήγου λέγοντος ὡς ὕπατοί τε τρεῖς*(3) *καὶ στρατηγοὶ τέτταρες ἀναιρεῖσθαι μέλλουσι Τοιαῦτα δ' ἕτερα καὶ Πείσων, ἀνὴρ ὑπατικός*(4), *εἰσήγγειλε. Γάϊο δὲ Σουλπίκιος, εἷς τῶν στρατηγῶν, ἐπὶ τὴν οἰκίαν πεμφθεὶς το Κεθήγου, πολλὰ μὲν ἐν αὐτῇ βέλη καὶ ὅπλα, πλεῖστα δὲ ξίφ καὶ μαχαίρας εὗρε*(5) *νεοθήκτους ἁπάσας. Τέλος δέ, τῷ Κροτω νιάτῃ ψηφισαμένης ἄδειαν ἐπὶ μηνύσει τῆς βουλῆς, ἐξελεγχθεὶ ὁ Λέντλος ἀπωμόσατο τὴν ἀρχήν (στρατηγῶν γὰρ ἐτύγχανε), κα τὴν περιπόρφυρον ἐν τῇ βουλῇ καταθέμενος, διήλλαξεν ἐσθῆτ τῇ συμφορᾷ πρέπουσαν. Οὗτος μὲν οὖν καὶ οἱ σὺν αὐτῷ παρε δόθησαν εἰς ἄδεσμον φυλακὴν τοῖς στρατηγοῖς*(6).

---

semble si non en yvrongnant avec folles femmes, estoient facilement des couverts par Ciceron, qui les alloit espiant et recherchant avec grand sollicitude (*πόνῳ*), sobre jugement (*λογισμῷ νήφοντι*), » etc.

16. *Καὶ πιστοὺς εὑρών*, et ayant trouvé *en eux* des émissaires sûrs. — Au lieu de ces mots, qu'on peut conjecturer être ce qu'avait écrit Plutarque, les manuscrits portent *καὶ πιστεύων*, « et se fiant à eux ». Cela n va nullement avec le contexte, puisque la confiance que Cicéron pouvai avoir dans les révélations qui lui étaient faites, n'était pour rien dans l sûreté de ses informations. S'il était bien informé, c'est qu'on lui rapportait tout fidèlement.

17. *Ξένους*, les ambassadeurs Allobroges.

Ch. XIX.] 1. Le temple de la Concorde, aujourd'hui entièrement détruit s'élevait au fond du Forum, au pied de la colline du Capitole. On le laissait sur la droite en montant le *clivus Capitolinus*. (Voy. les deux plans d Forum au temps de la république et de l'empire dans les *Promenade archéologiques* de M. Boissier.) — Cette séance se tint le 3 décembre.

2. « Julius Silanus, consul désigné, voy. chap. XIV, à la fin. »

3. Savoir Cicéron, consul de l'année, et les deux consuls désignés pou l'année suivante, Silanus et Murena.

4. « *Consularis*. C. Calpurnius Pison avait été consul quatre ans aupa ravant, 67 avant J.-C. »

5. Cicéron. *III*e *Catilin.*, III, 8: « *Atque interea statim admonitu Allobrogum C. Sulpicium praetorem, fortem virum, misi, qui ex aedibus Cethegi si quid telorum esset, efferret: ex quibus ille maximum sicarum numerum e gladiorum extulit.* »

6. Salluste, *Catil.*, 47: « *Senatus decernit uti*, abdicato magistratu (*ἀπω*

Ἤδη δ' ἑσπέρας οὔσης καὶ τοῦ δήμου παραμένοντος ἀθρόως, προελθὼν ὁ Κικέρων, καὶ φράσας τὸ πρᾶγμα τοῖς πολίταις(7), καὶ προπεμφθεὶς(8), παρῆλθεν εἰς οἰκίαν φίλου γειτνιῶντος, ἐπειδὴ(9) τὴν ἐκείνου γυναῖκες κατεῖχον ἱεροῖς ἀπορρήτοις ὀργιάζουσαι θεόν, ἣν Ῥωμαῖοι μὲν Ἀγαθήν(10), Ἕλληνες δὲ Γυναικείαν ὀνομάζουσιν. Ἐθύετο δ' αὐτῇ κατ' ἐνιαυτὸν ἐν τῇ οἰκίᾳ τοῦ ὑπάτου(11) διὰ γυναικὸς ἢ μητρὸς αὐτοῦ, τῶν Ἑστιάδων παρθένων παρουσῶν. Εἰσελθὼν(12) οὖν ὁ Κικέρων, καὶ γενόμενος καθ' αὑτὸν(13), ὀλίγων παντάπασιν αὐτῷ παρόντων, ἐφρόντιζεν(14) ὅπως χρήσαιτο τοῖς ἀνδράσι. Τήν τε γὰρ ἄκραν καὶ προσήκουσαν ἀδικήμασι τηλικούτοις τιμωρίαν ἐξηυλαβεῖτο καὶ κατώκνει, δι' ἐπιείκειαν ἤθους ἅμα, καὶ ὡς μὴ δοκοίη τῆς ἐξουσίας ἄγαν ἐμφορεῖσθαι καὶ πικρῶς ἐπεμβαίνειν ἀνδράσι γένει τε πρώτοις καὶ φίλους δυνατοὺς ἐν τῇ πόλει κεκτημένοις· μαλακώτερον δὲ χρησάμενος, ὠρρώδει τὸν ἀπ' αὐτῶν κίνδυνον(15). Οὐ γὰρ ἀγαπήσειν(16) μετριώτερόν τι θανάτου παθόντας, ἀλλ' εἰς ἅπαν ἀναρραγήσεσθαι τόλμης, ὡς μετὰ τῆς παλαιᾶς κακίας νέαν

μόσατο τὴν ἀρχήν), Lentulus itemque ceteri (οὗτος καὶ οἱ σὺν αὐτῷ) in liberis custodiis (εἰς ἄδεσμον φυλακήν) *habeantur. Itaque Lentulus P. Lentulo Spintheri, qui tum aedilis erat, Cethegus Q. Cornificio, Statilius C. Caesari, Gabinius M. Crasso, Caeparius Cn. Terentio* senatori *traduntur.* » L'expression τοῖς στρατηγοῖς qu'emploie Plutarque est inexacte. — Après τὴν περιπόρφυρον, sous-entendez ἐσθῆτα: la *toge prétexte* (c.-à-d. *purpura praetextam*, bordée de pourpre), insigne des hautes magistratures. — Διήλλαξεν, prit en échange.

7. Ce fut la troisième Catilinaire qu'il prononça dans cette occasion.

8. *Προπεμφθείς*, « reconvoyé par tout ce peuple. » (Amyot.)

9. Ἐπειδή, dans le sens de ἐπεί, *vu que* (emploi assez rare).

10. *Ὀργιάζουσαι θεόν*, fêtant la déesse. — Il sera de nouveau question des mystères de la Bonne Déesse au chap. XXVIII.

11. *Τοῦ ὑπάτου*, expression inexacte. On choisissait, pour la célébration de cette fête, où la présence des hommes était interdite, la maison de l'un des consuls ou des préteurs.

12. *Εἰσελθών* (dans la maison de l'ami).

13. *Γενόμενος καθ' αὑτόν*, s'étant renfermé en soi-même.

14. Ἐφρόντιζεν κτλ. Salluste, 46: « *Anxius erat dubitans, in maxumo scelere tantis civibus deprehensis*, quid facto opus esset (ὅπως χρήσαιτο τοῖς ἀνδράσι): pœnam (τὴν γὰρ ἄκραν τιμωρίαν) *sibi oneri* (ἐξηυλαβεῖτο . . . κεκτημένοις), *impunitatem* (μαλακώτερον δὲ χρησάμενος, = εἰ μαλακώτερον αὐτοῖς χρήσαιτο) *perdundae rei publicae* (ὠρρώδει τὸν ἀπ' ἐκείνων κίνδυνον) *fore credebat.* »

15. Cf. la note 7 du ch. XIV.

16. Ἀγαπήσειν, et plus loin, δόξειν. Ces infinitifs dépendent de ὑπελάμβανεν, ᾤετο, ou de quelque verbe de ce sens, qui est sous-entendu, mais dont l'idée, qu'a fait naître ἐφρόντιζεν un peu plus haut, persiste jusqu'à la fin de ce chapitre. — Entendez: *Οὐ γὰρ ἀγαπήσειν αὐτοὺς ᾤετο, εἰ μ. τ. θ. πάθοιεν.*

ὀργὴν προσλαβόντας· αὐτός τε δόξειν ἄνανδρος καὶ μαλακός, οὐ[...] ἄλλως δοκῶν (17) *εὐτολμότατος εἶναι τοῖς πολλοῖς.*

CHAPITRE XX.

Ταῦτα τοῦ Κικέρωνος διαπορροῦντος (1), *γίνεταί τι ταῖς γυναιξ[ὶ] θυούσαις σημεῖον. Ὁ γὰρ βωμός, ἤδη τοῦ πυρὸς κατακεκοιμῆσ[θ]αι* (2) *δοκοῦντος, ἐκ τῆς τέφρας καὶ τῶν κατακεκαυμένων φλοιῶ[ν] φλόγα πολλὴν ἀνῆκε καὶ λαμπράν. Ὑφ' ἧς αἱ μὲν ἄλλαι* (3) *δι[ε]πτοήθησαν, αἱ δ' ἱεραὶ παρθένοι* (4) *τὴν τοῦ Κικέρωνος γυναῖκ[α] Τερεντίαν ἐκέλευσαν ᾗ τάχος* (5) *χωρεῖν πρὸς τὸν ἄνδρα καὶ κε[λ]εύειν* (6) *οἷς ἔγνωκεν ἐγχειρεῖν ὑπὲρ τῆς πατρίδος, ὡς μέγ[α] πρός τε σωτηρίαν καὶ δόξαν αὐτῷ τῆς θεοῦ φῶς διδούσης. Ἡ δὲ Τερεντία (καὶ γὰρ οὐδ' ἄλλως ἦν πρᾳεῖά τις οὐδ' ἄτολμο[ς] τὴν φύσιν, ἀλλὰ φιλότιμος γυνὴ καὶ μᾶλλον, ὥς αὐτός φησιν Κικέρων* (7), *τῶν πολιτικῶν μεταλαμβάνουσα παρ' ἐκείνου φρο[ν]τίδων ἢ μεταδιδοῦσα τῶν οἰκιακῶν ἐκείνῳ) ταῦτά τε πρὸς αὐτὸ[ν] ἔφρασε καὶ παρώξυνεν ἐπὶ τοὺς ἄνδρας· ὁμοίως δὲ καὶ Κόϊντο[ς] ὁ ἀδελφὸς* (8) *καὶ τῶν ἀπὸ φιλοσοφίας ἑταίρων Πόπλιος Νιγ[ί]διος* (9), *ᾧ τὰ πλεῖστα καὶ μέγιστα παρὰ τὰς πολιτικὰς ἐχρῆτ[ο] πράξεις* (10).

Τῇ δ' ὑστεραίᾳ, γινομένων ἐν συγκλήτῳ λόγων περὶ τιμωρία[ς]

---

17. *Οὐδ' ἄλλως δοκῶν*, *lui qui déjà ne passait pas pour*, ou, comme A[-]myot, « avec ce que d'ailleurs il n'estoit pas tenu fort hardy. »

Ch. XX.] 1. *Ταῦτα τοῦ Κικέρωνος διαπορροῦντος.* Amyot: « Ainsi que C[i]ceron estoit en ces doubtes. »

2. « Nous disons de même: « un feu assoupi. » Virgile: *sopitos suscit[at] ignes.* »

3. *Αἱ μὲν ἄλλαι*, les autres *femmes* (qui étaient présentes).

4. *Αἱ δ' ἱεραὶ παρθένοι*, c.-à.-d. *αἱ Ἑστιάδες.*

5. *Ἧι τάχος*, comme *ὡς* ou *ὅσον τάχος*, *ὡς τάχιστα*, *ᾗ τάχιστα*, etc., tout[es] locutions pour dire: *bien vite, le plus vite possible.*

6. *Ἐκέλευσαν κελεύειν ἐγχειρεῖν*, lui dirent de dire (à son mari) de s[e] mettre à exécuter — *οἷς ἔγνωκεν ὑπὲρ κτλ.*, « ce qu'il avoit en pensée pou[r] l'utilité de . . . . » (Amyot.)

7. Le passage où Cicéron a dit cela ne se retrouve pas dans ses œuvre[s] aujourd'hui conservées.

8. *Κόϊντος ὁ ἀδελφός*, son frère Quintus.

9. P. Nigidius Figulus, « le plus savant des Romains après Varron, » trè[s] lié avec Cicéron de par leurs communes discussions philosophiques (*ἀπ[ὸ] φιλοσοφίας*).

10. *Τὰ πλεῖστα καὶ μέγιστα* jouent le rôle d'adverbes auprès de *ἐχρῆτο*. *Παρὰ τὰς πολιτικὰς πράξεις*, dans le gouvernement des affaires publiques

τῶν ἀνδρῶν, ὁ πρῶτος γνώμην ἐρωτηθεὶς(11) Σιλανὸς εἶπε τὴν ἐσχάτην δίκην δοῦναι προσήκειν ἀχθέντας εἰς τὸ δεσμωτήριον. Καὶ τούτῳ προσετίθεντο(12) πάντες ἐφεξῆς μέχρι Γαΐου Καίσαρος(13), τοῦ μετὰ ταῦτα δικτάτορος γενομένου. Τότε δὲ νέος ὢν(14) ἔτι, καὶ τὰς πρώτας ἔχων τῆς αὐξήσεως ἀρχάς, ἤδη δὲ καὶ τῇ πολιτείᾳ καὶ ταῖς ἐλπίσιν εἰς ἐκείνην τὴν ὁδὸν ἐμβεβηκώς, ᾗ τὰ Ῥωμαίων εἰς μοναρχίαν μετέστησε πράγματα, τοὺς μὲν ἄλλους ἐλάνθανε, τῷ δὲ Κικέρωνι πολλὰς μὲν ὑποψίας, λαβὴν δ' εἰς ἔλεγχον οὐδεμίαν παρέδωκεν· ἀλλὰ καὶ λεγόντων ἦν ἐνίων ἀκούειν ὡς, ἐγγὺς ἐλθὼν ἁλῶναι, διεκφύγοι τὸν ἄνδρα(15). Τινὲς δέ φασι περιιδεῖν(16) ἑκόντα καὶ παραλιπεῖν τὴν κατ' ἐκείνου μήνυσιν φόβῳ τῶν φίλων αὐτοῦ καὶ τῆς δυνάμεως· παντὶ γὰρ εἶναι πρόδηλον ὅτι μᾶλλον ἂν ἐκεῖνοι(17) γένοιντο προσθήκη Καίσαρι σωτηρίας ἢ Καῖσαρ ἐκείνοις κολάσεως.

CHAPITRE XXI.

Ἐπεὶ δ' οὖν ἡ γνώμη περιῆλθεν εἰς αὐτόν(1), ἀναστὰς(2) ἀπεφήνατο(3) μὴ θανατοῦν τοὺς ἄνδρας, ἀλλὰ τὰς οὐσίας εἶναι δημοσίας, αὐτοὺς δ' ἀπαχθέντας εἰς πόλεις τῆς Ἰταλίας, ἃς ἂν δοκῇ Κικέρωνι, τηρεῖσθαι δεδεμένους, ἄχρι ἂν οὐ καταπολεμηθῇ Κατιλίνας(4).

---

11. On dit *ἐρωτῶ τινα γνώμην*, je demande à quelqu'un son avis; d'où, au passif, *ἐρωτᾶταί τις γνώμην*, on demande à quelqu'un son avis.
12. *Τούτῳ προσετίθεντο*, se rangèrent à son avis.
13. *Γαΐου Καίσαρος*, Jules César.
14. Il avait alors 37 ans.
15. *Τὸν ἄνδρα*, Cicéron.
16. *Περιιδεῖν*, sous-entendu *Κικέρωνα* (sujet de cet infinitif).
17. *Ἐκεῖνοι*, *les conjurés*. Voici une paraphrase des paroles de Plutarque, lequel ne s'est exprimé ici ni avec simplicité ni avec une parfaite clarté: *Μᾶλλον ἂν οἱ συνωμόται συσσωθεῖεν Καίσαρι σωθέντι διὰ τοὺς φίλους ἢ κολασθέντι συγκολασθεῖεν*. Amyot: « Il estoit tout apparent que si l'on mettoit Caesar au nombre des accusez, il seroit plus tost cause de leur faire sauver la vie à eulx, que eulx de la faire perdre à luy. »

Ch. XXI.] 1. *Ἐπεὶ ἡ γνώμη περιῆλθεν εἰς αὐτόν*, mot à mot: « Lorsque l'avis en faisant le tour vint à lui; » quand son tour vint de dire son avis. »
2. « Les sénateurs parlaient de leur place, en se tenant debout. Il n'y avait pas de tribune dans le sénat. »
3. Comparez le discours que Salluste (51) met dans la bouche de César.
4. Salluste: « *Placet igitur eos dimitti et augeri exercitum Catilinae? Minime. Sed ita censeo: publicandas eorum pecunias, ipsos in vinculis habendos per municipia, quae maxime opibus valent.* » Mais César ajoutait: « *Neu quis de eis postea ad senatum referat, neve cum populo agat,* » ce qui était

Οὔσης δὲ τῆς γνώμης ἐπιεικοῦς (5) *καὶ τοῦ λέγοντος εἰπεῖ δυνατωτάτου, ῥοπὴν ὁ Κικέρων προσέθηκεν οὐ μικράν. Αὐτὸ γὰρ ἀναστὰς ἐνεχείρησεν εἰς ἑκάτερον* (6), *τὰ μὲν τῇ προτέρᾳ, τα δὲ τῇ γνώμῃ Καίσαρος συνειπών, οἵ τε φίλοι πάντες οἰόμενοι τῷ Κικέρωνι λυσιτελεῖν τὴν Καίσαρος γνώμην (ἧττον γὰρ ἐν αἰτίαις ἔσεσθαι μὴ θανατώσαντα τοὺς ἄνδρας) ᾑροῦντο τὴν δευτέραν μᾶλλον, ὥστε καὶ τὸν Σιλανὸν αὖθις μεταβαλλόμενον παραιτεῖσθαι* (7) *καὶ λέγειν ὡς οὐδ' αὐτὸς εἴποι θανατικὴν γνώμην· ἐσχάτην γὰρ ἀνδρὶ βουλευτῇ Ῥωμαίων δίκην εἶναι τὸ δεσμωτήριον* (8).

Εἰρημένης δὲ τῆς γνώμης, πρῶτος ἀντέκρουσεν αὐτῇ Κάτλος Λουτάτιος (9)· *εἶτα διαδεξάμενος* (10) *Κάτων* (11), *καὶ τῷ λόγῳ σφοδρῶς συνεπερείσας ἐπὶ τὸν Καίσαρα τὴν ὑπόνοιαν, ἐνέπλησε θυμοῦ καὶ φρονήματος τὴν σύγκλητον, ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν* (12).

Περὶ δὲ δημεύσεως χρημάτων ἐνίστατο (13) *Καῖσαρ, οὐκ ἀξιῶ τὰ φιλάνθρωπα τῆς ἑαυτοῦ γνώμης ἐκβαλόντας ἑνὶ χρήσασθαι τῷ σκυθρωποτάτῳ. Βιαζομένων δὲ πολλῶν* (14), *ἐπεκαλεῖτο τοὺς δη*

---

demander la détention *à perpétuité*. (Cf. Cicéron, *IVᵉ Catilin.*, v, 10 AETERNIS *tenebris vinculisque mandare.*) Plutarque a mal compris.

5. Cicéron qualifie César, dans la *IVᵉ Catilinaire* (v, 10), à propos de l'avis qu'il ouvrit dans cette circonstance, de «*homo mitissimus atque le nissimus.*»

6. «*Ἐνεχείρησεν* a ici le sens de *ἐπεχείρησε*, terme de rhétorique, plu usité sous la forme de substantif, *ἐπιχείρημα* et *ἐπιχείρησις*. La traductio littérale serait: «il manœuvra vers l'un et l'autre des deux côtés,» il ar rangea son discours de manière à tenir la balance entre les deux avi opposés . . . Plutarque ne fait pas assez entendre que Cicéron, tout en ba lançant l'opinion de César et de Silanus, laisse voir clairement qu'il pré fère la seconde.» Le discours de Cicéron dont il s'agit ici, c'est notre *IV Catilinaire.*

7. *Παραιτεῖσθαι*, s'excuser (de revenir sur son avis).

8. Voici ce que dit Salluste (50) de Silanus: «*D. Junius Silanus, primu sententiam rogatus quod eo tempore consul designatus erat, de eis suppli cium sumendum decreverat: isque postea, permotus oratione C. Caesaris pedibus in sententiam* Tiberi Neronis *iturum se dixerat*, qui de ea re prae sidiis additis referundum censuerat.»

9. Q. Lutatius Catulus *Capitolinus*, dont le surnom vient de ce qu'i reconstruisit le Capitole (brûlé l'an 83 av. J.-C.).

10. *Διαδεξάμενος*, comme en latin *excipiens sermonem.*

11. Caton *d'Utique*. Voy. le discours que lui fait prononcer Salluste (52)

12. *Τῶν ἀνδρῶν*, et de nouveau, au commencement du chapitre suivant *τοὺς ἄνδρας, les conjurés.*

13. «*Ἐνίστασθαι* signifie, non pas *insister*, mais *résister.*»

14. *Βιαζομένων πολλῶν*, «mais pource que le plus grand nombre l gagnoit et l'emportoit contre luy.» (Amyot.)

μάρχους. Οἱ δ' οὐχ ὑπήκουον, ἀλλὰ Κικέρων αὐτὸς ἐνδοὺς ἀνῆκε τὴν περὶ δημεύσεως γνώμην.

CHAPITRE XXII.

Ἐχώρει δὲ μετὰ τῆς βουλῆς ἐπὶ τοὺς ἄνδρας. Οὐκ ἐν ταὐτῷ δὲ πάντες ἦσαν, ἄλλος δ' ἀλλον ἐφύλαττε τῶν στρατηγῶν (1). Καὶ πρῶτον ἐκ Παλατίου παραλαβὼν τὸν Λέντλον(2) ἦγε διὰ τῆς Ἱερᾶς ὁδοῦ(3) καὶ τῆς ἀγορᾶς μέσης, τῶν μὲν ἡγεμονικωτάτων ἀνδρῶν κύκλῳ περιεσπειραμένων καὶ δορυφορούντων, τοῦ δὲ δήμου φρίττοντος τὰ δρώμενα καὶ παριέντος(4) σιωπῇ, μάλιστα δὲ τῶν νέων, ὥσπερ ἱεροῖς τισι πατρίοις ἀριστοκρατικῆς τινος ἐξουσίας τελεῖσθαι μετὰ φόβου καὶ θάμβους δοκούντων(5). Διελθὼν δὲ τὴν ἀγορὰν καὶ γενόμενος πρὸς τῷ δεσμωτηρίῳ(6), παρέδωκε τὸν Λέντλον τῷ δημίῳ καὶ προσέταξεν ἀνελεῖν· εἶθ' ἑξῆς τὸν Κέθηγον, καὶ οὕτω τῶν ἄλλων ἕκαστον καταγαγὼν ἀπέκτεινεν(7). Ὁρῶν δὲ πολλοὺς ἔτι τῶν ἀπὸ τῆς συνωμοσίας(8) ἐν ἀγορᾷ

Ch. XXII.] 1. Voy. la note 6 du chap. xix.

2. Il paraît par ce passage que Lentulus Spinther, chez qui était gardé Lentulus, habitait le Palatin. (Sur ce quartier de Rome, voy. la note 10 du ch. viii.

3. Τῆς Ἱερᾶς ὁδοῦ «Le nom de la voie Sacrée rappelle les plus grands souvenirs de Rome. On l'avait donné, dit-on, à cette rue, à cause des cérémonies religieuses dont, à certains jours, elle était le théâtre . . . C'est par là que les triomphes allaient au Capitole.» On la voit encore aujourd'hui sous l'arc de Titus; elle aboutissait, après avoir traversé le Forum, au pied du Capitole et venait passer là entre le temple de Saturne et celui de Vespasien. (Boissier, *Promenades archéologiques*, chap. i, § 2.)

4. Παριέντος, *laissant faire*, comme s'il y avait ἐῶντος, μηδ' ἐμποδὼν γιγνομένου τοῖς πραττομένοις.

5. Τῶν νεῶν . . . τελεῖσθαι . . . δοκούντων. Il semblait aux jeunes gens qu'on était à les initier à de certains mystères nationaux. — Μετὰ φόβου καὶ θάμβους, tombent, non sur δοκούντων, mais sur τελεῖσθαι. Dans les mystères d'Éleusis, par exemple, on éprouvait les initiés par des spectacles effrayants. — Le génitif ἀριστοκρατικῆς τινος ἐξουσίας, qui dépend de ἱεροῖς τισι πατρίοις, veut sans doute dire «mystères *célébrés par* une sorte de puissance aristocratique.» Amyot rend cela par «mystère joué de puissance absolue par les plus gros personnages de la ville.» Plutarque ne s'est pas exprimé ici dans un style clair.

6. Τῷ δεσμωτηρίῳ, le *carcer Tullianus* (consultez un plan de Rome antique). Cette prison était située presque en face de l'endroit où débouchait la voie Sacrée, sur le bas de la pente du Capitole, un peu au-dessous du temple de la Concorde (cf. la note 1 du chap. xix).

7. Ἀπέκτεινεν, c'est-à-dire: les *fit* mettre à mort. Nous disons de même: j'ai bâti, pour: *j'ai fait bâtir une maison*.

8. Τῶν ἀπὸ τῆς συνωμοσίας, de ceux *qui faisaient partie* de la conjuration.

συνεστῶτας ἀθρόους καὶ τὴν μὲν πρᾶξιν ἀγνοοῦντας, τὴν δὲ νύκτα προσμένοντας, ὡς ἔτι ζώντων τῶν ἀνδρῶν καὶ δυναμένων ἐξαρπαγῆναι, φθεγξάμενος μέγα πρὸς αὐτούς, «Ἔζησαν(9)» εἶπεν. Οὕτω δὲ Ῥωμαίων οἱ δυσφημεῖν μὴ βουλόμενοι τὸ τεθνάναι σημαίνουσιν.

Ἤδη δ' ἦν ἑσπέρα, καὶ δι' ἀγορᾶς ἀνέβαινεν εἰς τὴν οἰκίαν(10), οὐκέτι σιωπῇ(11) τῶν πολιτῶν οὐδὲ τάξει προπεμπόντων αὐτόν, ἀλλὰ φωναῖς καὶ κρότοις δεχομένων, καθ' οὓς γένοιτο(12), σωτῆρα καὶ κτίστην ἀνακαλούντων τῆς πατρίδος. Τὰ δὲ φῶτα πολλὰ κατέλαμπε τοὺς στενωπούς(13), λαμπάδια καὶ δᾷδας ἱστάντων(14) ἐπὶ ταῖς θύραις. Αἱ δὲ γυναῖκες ἐκ τῶν τεγῶν προὔφαινον(15) ἐπὶ τιμῇ καὶ θέᾳ τοῦ ἀνδρὸς, ὑπὸ πομπῇ τῶν ἀρίστων μάλα σεμνῶς ἀνιόντος· ὧν οἱ πλεῖστοι, πολέμους τε κατεργασάμενοι μεγάλους καὶ διὰ θριάμβων εἰσεληλακότες καὶ προσεκτημένοι(16) γῆν καὶ θάλατταν οὐκ ὀλίγην, ἐβάδιζον ἀνομολογούμενοι πρὸς ἀλλήλους, πολλοῖς μὲν τῶν τότε ἡγεμόνων καὶ στρατηγῶν πλούτου καὶ λαφύρων καὶ δυνάμεως χάριν ὀφείλειν τὸν Ῥωμαίων δῆμον, ἀσφαλείας δὲ καὶ σωτηρίας ἑνὶ μόνῳ Κικέρωνι, τηλικοῦτον ἀφελόντι καὶ τοσοῦτον αὐτοῦ(17) κίνδυνον. Οὐ γὰρ τὸ κωλῦσαι τὰ πραττόμενα(18) καὶ κολάσαι τοὺς πράττοντας ἐδόκει θαυμαστόν, ἀλλ' ὅτι μέγιστον τῶν πώποτε νεωτερισμῶν οὗτος ἐλαχίστοις κακοῖς, ἄνευ στάσεως καὶ ταραχῆς, κατέσβεσε. Καὶ γὰρ τὸν Κατιλίναν οἱ πλεῖστοι τῶν συνερρυηκότων πρὸς αὐτόν, ἅμα τῷ

---

9. *Ἔζησαν, vixerunt.*

10. Reportez-vous à la note 10 du chap. VII.

11. Cf. *παριέντος σιωπῇ* vers le commencement de ce chapitre.

12. *Καθ' οὓς γένοιτο*, à l'optatif, à cause des imparfaits qui sont contenus dans les participes *προπεμπόντων, δεχομένων, ἀνακαλούντων*. C'est comme s'il y avait, p. ex.: *Κρότοις αὐτὸν ἐδέχοντο οἱ πολῖται καθ' οὓς γένοιτο, ceux de ses concitoyens auprès de qui*, ou *dans le quartier de qui il passait*. (On aurait au présent: *Κρότοις αὐτὸν δέχονται οἱ πολῖται καθ' οὓς ἂν γένηται*.)

13. *Τοὺς στενωπούς*, les rues.

14. *Ἱστάντων* (*πολιτῶν*, si l'on veut, sous-entendu), génitif absolu, *les habitants mettant, dressant.*

15. *Ἐκ τῶν τεγῶν προὔφαινον*, « esclairoient du plus hault des maisons. » Les illuminations, comme expression de la joie publique, sont, comme on voit, un antique usage.

16. *Προσεκτημένοι, ayant conquis.* Mot à mot : ayant ajouté par conquête (sous-entendu : à l'empire romain).

17. *Αὐτοῦ κίνδυνον*, danger *du peuple romain*, c'est-à-dire : danger *que le peuple courait.*

18. *Τὸ κωλῦσαι τὰ πραττόμενα*, « d'avoir empesché que l'entreprise des conjurez ne sortist à effect. » (Amyot.)

πυθέσθαι τὰ περὶ Λέντλον καὶ Κέθηγον, ἐγκαταλιπόντες ᾤχοντο· καὶ μετὰ τῶν συμμεμενηκότων αὐτῷ διαγωνισάμενος πρὸς Ἀντώνιον, αὐτός τε διεφθάρη καὶ τὸ στρατόπεδον(19).

CHAPITRE XXIII.

Οὐ μὴν ἀλλὰ καὶ ἦσαν οἱ τὸν Κικέρωνα παρεσκευασμένοι καὶ λέγειν ἐπὶ τούτοις καὶ ποιεῖν κακῶς(1), *ἔχοντες ἡγεμόνας, τῶν εἰς τὸ μέλλον ἀρχόντων*(2), *Καίσαρα μὲν στρατηγοῦντα, Μέτελλον δὲ καὶ Βηστίαν δημαρχοῦντας. Οἳ τὴν ἀρχὴν παραλαβόντες, ἔτι τοῦ Κικέρωνος ἡμέρας ὀλίγας ἔχοντος*(3), *οὐκ εἴων δημηγορεῖν αὐτόν, ἀλλ' ὑπὲρ τῶν ἐμβόλων*(4) *βάθρα θέντες οὐ παρίεσαν οὐδ' ἐπέτρεπον λέγειν, ἀλλ' ἐκέλευον*(5), *εἰ βούλοιτο, μόνον περὶ τῆς ἀρχῆς ἀπομόσαντα, καταβαίνειν. Κἀκεῖνος ἐπὶ τούτοις*(6) *ὡς ὀμόσων*(7) *προῆλθε· καί, γενομένης αὐτῷ σιωπῆς, ἀπώμνυεν οὐ τὸν πάτριον, ἀλλ' ἴδιόν τινα καὶ καινὸν ὅρκον, ἦ μὴν*(8) *σεσωκέναι*

---

19. *Τὸ στρατόπεδον*, traduisez: *son* armée. — Voy. le récit de ces évènements dans les six derniers chapitres de l'ouvrage de Salluste. Catilina fut défait et tué à la bataille de Pistoria, le 5 janvier 62.

Ch. XXIII.] 1. *Οὐ μὴν ἀλλὰ καὶ ἦσαν οἱ.* « Ce néantmoins encore y en avoit-il qui » (Amyot) — *παρεσκευασμένοι καὶ λέγειν* (s.-ent. *κακῶς*) *καὶ ποιεῖν κακῶς τὸν Κικέρωνα*, étaient prêts à dire du mal de Cicéron et à lui en faire — *ἐπὶ τούτοις*, « pour ce faict », pour ce qui venait d'avoir lieu.

2. *Ἔχοντες ἡγεμόνας*, « ayant pour leurs chefs, » — *τῶν εἰς τὸ μέλλον ἀρχόντων*, *parmi ceux* qui étaient désignés comme magistrats pour l'année suivante.

3. *Ἔτι ἡμέρας ὀλίγας ἔχοντος*, alors que Cicéron avait encore quelques jours (à exercer les fonctions de consul). — Plutarque, ici, encore, rapporte les choses un peu inexactement. Les préteurs, comme les consuls, entraient en charge le 1er janvier: quant à César, il prit ses fonctions juste en même temps que Cicéron quittait les siennes. L'exercice de la magistrature des tribuns commençait, au contraire, dans les premiers jours du mois de décembre. Lorsque Cicéron, le 29 décembre, se démit de sa charge, L. Calpurnius Bestia n'était plus tribun: ce fut Q. Metellus Nepos seul, alors nouvellement investi des fonctions de tribun, qui s'opposa à ce qu'il fît un discours au peuple.

4. *Τῶν ἐμβόλων*, « la tribune des harengues [sic] que l'on appeloit à Rome *Rostra*. » (Amyot.)

5. *Ἀλλ' ἐκέλευον*, mais lui dirent *de monter à la tribune*, — *εἰ βούλοιτο καταβαίνειν*, s'il consentait à descendre, — *μόνον . . . ἀπομόσαντα*, après avoir simplement prêté son serment de consul sortant de charge (il s'agissait de jurer, selon l'usage, *se nihil contra leges fecisse*).

6. *Ἐπὶ τούτοις*, « soubz ceste condition ».

7. *Ὀμόσω* forme de mauvaise grécité, pour *ὀμοῦμαι*.

8. *Ἦ μήν*. « Ces deux conjonctions suivies de l'infinitif annoncent une affirmation par serment. »

τὴν πατρίδα καὶ διατετηρηκέναι τὴν ἡγεμονίαν. Ἐπώμνυε δὲ τὸ
ὅρκον αὐτῷ σύμπας ὁ δῆμος(9).

Ἐφ' οἷς ἔτι μᾶλλον ὅ τε Καῖσαρ οἵ τε δήμαρχοι χαλεπαίνον
τες, ἄλλας τε τῷ Κικέρωνι ταραχὰς ἐμηχανῶντο, καὶ νόμος ὑπ
αὐτῶν εἰσήγετο καλεῖν Πομπήϊον μετὰ τῆς στρατιᾶς, ὡς δι
καταλύσοντα τὴν Κικέρωνος δυναστείαν. Ἀλλ' ἦν ὄφελο
μέγα τῷ Κικέρωνι καὶ πάσῃ τῇ πόλει δημαρχῶν τότε Κάτων κα
τοῖς ἐκείνων πολιτεύμασιν ἀπ' ἴσης μὲν ἐξουσίας, μείζονος δ
δόξης ἀντιτασσόμενος(10). Τά τε γὰρ ἄλλα ῥᾳδίως ἔλυσε, κα
τὴν Κικέρωνος δυναστείαν(11) οὕτως ἦρε τῷ λόγῳ δημηγορήσας
ὥστε τιμὰς αὐτῷ τῶν πώποτε μεγίστας ψηφίσασθαι(12) καὶ προσ
αγορεῦσαι Πατέρα πατρίδος. Πρώτῳ γὰρ ἐκείνῳ δοκεῖ τοῦ
ὑπάρξαι, Κάτωνος αὐτὸν οὕτως ἐν τῷ δήμῳ προσαγορεύσαντος(13

CHAPITRE XXIV.

Καὶ μέγιστον μὲν ἴσχυσεν ἐν τῇ πόλει τότε, πολλοῖς δ' ἐπι
φθονον ἑαυτὸν ἐποίησεν ἀπ' οὐδενὸς ἔργου πονηροῦ, τῷ δ' ἐπα
νεῖν ἀεὶ καὶ μεγαλύνειν αὐτὸς ἑαυτὸν ὑπὸ πολλῶν δυσχεραιν
μενος. Οὔτε γὰρ βουλὴν οὔτε δῆμον οὔτε δικαστήριον ἦν συνε
θεῖν, ἐν ᾧ μὴ Κατιλίναν ἔδει θρυλούμενον ἀκοῦσαι καὶ Λέντλο
Ἀλλὰ καὶ τὰ βιβλία τελευτῶν κατέπλησε καὶ τὰ συγγράμματ
τῶν ἐγκωμίων(1)· καὶ τὸν λόγον, ἥδιστον ὄντα καὶ χάριν ἔχοντ

---

9. Cicéron (*contre Pison*, III, § 6-7) raconte la même scène dans les term
suivants: « *Ego quum in contione, abiens magistratu, dicere a tribuno pl
bis prohiberer quae constitueram, quumque is mihi tantum modo ut jurare
permitteret, sine ulla dubitatione juravi rem publicam atque hanc urbem m
unius opera esse salvam. Mihi populus Romanus universus illa in contio
non unius diei gratulationem, sed aeternitatem immortalitatemque donav
quum meum jusjurandum tale atque tantum juratus ipse una voce et co
sensu approbavit. Quo quidem tempore is meus domum fuit e foro reditu
ut nemo, nisi qui mecum esset, civium esse in numero videretur.* »

10. *Ἀπ' ἴσης ἐξουσίας ἀντιτασσόμενος*, « s'opposant à leurs menées, av
pareille puissance que la leur, » etc. (Amyot.)

11. *Δυναστείαν*. Caton relève fièrement le mot (voy. quatre lignes pl
haut).

12. *Ψηφίσασθαι, προσαγορεῦσαι*, fit voter, fit nommer par le peupl
Ordinairement, *ψηφίζεσθαι*, *voter*, se dit du peuple; mais Plutarque er
ploie souvent cette expression en parlant d'un magistrat qui *fait* vot
une loi par le peuple. Cf. la note 3 du ch. XXIX.

13. Cela se passa donc dans le peuple. D'autre part, Cicéron dit (*cont
Pison*, III, § 6): « Me Q. Catulus . . . frequentissimo senatu *Parentem p
triae* nominavit. » — Bien connu est le vers de Juvénal: *Roma parente
Roma patrem patriae Ciceronem libera dixit.*

Ch. XXIV. 1. *Τὰ βιβλία*, *ses* livres; *τῶν ἐγκωμίων*, de *son propre* élog

πλείστην, ἐπαχθῆ καὶ φορτικὸν ἐποίησε τοῖς ἀκροωμένοις, ὥσπερ τινὸς ἀεὶ κηρὸς(²) αὐτῷ τῆς ἀηδίας ταύτης προσούσης.

Ὅμως δέ, καίπερ οὕτως ἀκράτῳ φιλοτιμίᾳ συνών, ἀπήλλακτο τοῦ φθονεῖν ἑτέροις, ἀφθονώτατος(³) ὢν ἐν τῷ τοὺς πρὸ αὑτοῦ καὶ τοὺς καθ' αὑτὸν ἄνδρας ἐγκωμιάζειν, ὡς ἐκ τῶν συγγραμμάτων λαβεῖν(⁴) ἔστι. Πολλὰ δ' αὐτοῦ καὶ ἀπομνημονεύουσιν· οἷον, περὶ Ἀριστοτέλους, ὅτι χρυσίου ποταμὸς εἴη ῥέοντος(⁵)· καί, περὶ τῶν Πλάτωνος διαλόγων, ὡς τοῦ Διός, εἰ λόγῳ χρῆσθαι πέφυκεν, οὕτω διαλεγομένου(⁶). Τὸν δὲ Θεόφραστον εἰώθει τρυφὴν ἰδίαν(⁷) ἀποκαλεῖν. Περὶ δὲ τῶν Δημοσθένους λόγων ἐρωτηθείς, τίνα δοκοίη κάλλιστον εἶναι, τὸν μέγιστον(⁸) εἶπε. Καίτοι τινὲς τῶν προσποιουμένων δημοσθενίζειν ἐπιφύονται(⁹) φωνῇ τοῦ Κικέρωνος, ἣν πρός τινα τῶν ἑταίρων ἔθηκεν ἐν ἐπιστολῇ γράψας, ἐνιαχοῦ τῶν λόγων ὑπονυστάζειν τὸν Δημοσθένη(¹⁰)·

---

de même ensuite *τὸν λόγον*, *son* style. L'article grec prend souvent ainsi la force du possessif.

2. *Κηρός*. Amyot: «Car il falloit tousjours que cette facherie y fust attachée comme un malheur feé [= fée], qui lui ostait toute sa bonne grace.» (Ce dernier membre de phrase est ajouté par Amyot pour parfaire sa phrase et insister sur l'idée.).

3. *Ἀφθονώτατος*, *très abondant*. Amyot: «Ains estoit *fort liberal* à louer les hommes excellents.»

4. *Λαβεῖν*, tirer de. «Comme l'on peult veoir par ses escripts.» (Amyot.) Cf. *Vie de Démosthène*, n. 2 du ch. XII et n. 11 du ch. XIV.

5. *Académiques* (II, chap. XXXVIII, § 119): «*Flumen orationis aureum fundens Aristoteles.*» *Ὅτι*, *qu'il disait* (sous-entendu) que.

6. *Ὡς . . . διαλεγομένου*. Ce génitif absolu commandé par *ὡς* est une locution très voisine de l'accusatif absolu avec *ὡς*, qui est expliqué ci-dessus à la note 12 du ch. III. «On rapporte (*ἀπομνημονεύουσι*) beaucoup de paroles de Cicéron (*πολλὰ αὐτοῦ*), par exemple (*οἷον*), à propos des dialogues de Platon (*περὶ τῶν κτλ.*), *comme* Jupiter, s'il parle, parlant ainsi,» pour dire: «*qu'il disait que* Jupiter, s'il parle, *parle* ainsi.» (Comparez aussi l'exemple interprété à la note 15 du chap. III — «S'il parle *grec*,» lit-on chez Cicéron. Voy. *Brutus*, XXXI, 121: «*Quis enim uberior in dicendo Platone? Jovem sic, aiunt philosophi, si graece loquatur, loqui; quis Aristotele nervosior, Theophrasto dulcior?*»

7. *Τρυφὴν ἰδίαν*, ses délices à lui.

8. *Τὸν δὲ Θεόφραστον κτλ. περὶ δὲ τῶν Δημοσθένους λόγων κτλ.* On ne saurait dire aujourd'hui où Plutarque aura puisé ces deux *mots* de Cicéron. Pour ce qui est du dernier, un contemporain de Plutarque, Pline le Jeune, l'appliqua à Cicéron lui-même: «Gracchis et Catoni Pollionem, Caesarem, Caelium, in primis M. Tullium oppono, *cujus oratio optima fertur esse quae maxima.*»

9. *Ἐπιφύονται*, s'attachent à . . . . (Cf. *Vie de Démosthène*, note 10 du ch. XIV.

10. Nous n'avons plus la lettre où Cicéron a dit cela. Comparez d'ailleurs Quintilien (XII, 1, 22): « . . . . quanquam neque ipsi Ciceroni Demosthenes videatur satis esse perfectus, *quem dormitare interim* dicit.» Et le même (X, 1, 24): « . . . . cum Ciceroni *dormitare interim Demosthenes,*

γίαν αὐτοῦ προσηκόντως ἐπικόπτοντος, εἴπερ ἦν φαῦλος καὶ ἀκόλαστος, ὡς ἐδόκει, πρὸς δὲ τὸν Πέλοπα μικρολογουμένου(17) *καὶ μεμψιμοιροῦντος ὥσπερ ἀμελήσαντα τιμὰς αὐτῷ καὶ ψηφίσματα παρὰ Βυζαντίων γενέσθαι*(18).

CHAPITRE XXV.

Ταῦτά τε δὴ φιλότιμα, καὶ τὸ πολλάκις ἐπαιρόμενον τοῦ λόγου τῇ δεινότητι τὸ πρέπον προΐεσθαι(1). *Μουνατίῳ*(2) *μὲν γάρ ποτε συνηγορήσας, ὡς ἀποφυγὼν τὴν δίκην ἐκεῖνος ἐδίωκεν ἑταῖρον αὐτοῦ*(3) *Σαβῖνον, οὕτω λέγεται προπεσεῖν*(4) *ὑπ' ὀργῆς ὁ Κικέρων, ὥστ' εἰπεῖν· «Σὺ γὰρ ἐκείνην, ὦ Μουνάτιε, τὴν δίκην ἀπέφυγες διὰ σεαυτόν, οὐκ ἐμοῖ πολὺ σκότος ἐν φωτὶ τῷ δικαστηρίῳ περιχέαντος*(5)*;»*

Μάρκον δὲ Κράσσον(6) *ἐγκωμιάζων ἀπὸ τοῦ βήματος*(7) *εὐημέρησε, καὶ μεθ' ἡμέρας αὖθις ὀλίγας λοιδορῶν αὐτόν, ὡς ἐκεῖνος εἶπεν «Οὐ γὰρ ἐνταῦθα πρῴην αὐτὸς ἡμᾶς ἐπῄνεις;» «Ναί,» φησι «μελέτης ἕνεκεν γυμνάζων τὸν λόγον εἰς φαύλην ὑπόθεσιν*(8)*.»*

Εἰπόντος δέ ποτε τοῦ Κράσσου μηδένα Κράσσον ἐν Ῥώμῃ βεβιωκέναι μακρότερον ἑξηκονταετίας, εἶθ' ὕστερον ἀρνουμένου

---

grecques que celle là seule qui soit escritte en cholere, et une autre qu'il escrit à Pelops Byzantin.» Ce Pélops est un personnage d'ailleurs inconnu.

17. *Πρός τινα μικρολογεῖσθαι*, chicaner quelqu'un sur des misères.

18. *Καὶ μεμψιμοιροῦντος . . . γενέσθαι*. Amyot: «Se plaignant de luy de ce qu'il n'avoit tenu compte de proclamer envers les Byzantins qu'ils feissent quelques ordonnances publiques à son honneur et à sa gloire.» (Amyot lisait *τιμάς τινας αὐτῷ*.)

Ch. XXV.] 1. «Cela (*ταῦτα*, cette lettre à Pélops de Byzance) procedoit de sa trop grande ambition» (*φιλότιμα*, s.-ent. *ἦν*), ainsi que ceci . . . (*ταῦτα τε . . . καὶ τὸ* —). A partir d'ici construisez: *τὸ προΐεσθαι πολλάκις τὸ πρέπον, ἐπαιρόμενον* (étant enlevé, orgueilleux, lui Cicéron) *τῇ δεινότητι τοῦ λόγου*.

2. «Peut être T. Munatius Plancus Bursa, qui, tribun du peuple en 52, se montra l'ami de Clodius et l'ennemi de Cicéron, et fut condamné plus tard, sur l'accusation de Cicéron, pour faits de violence.»

3. *Ἐκεῖνος*, Munatius. — *Αὐτοῦ*, de Cicéron.

4. *Προπεσεῖν*, *longius justo processum esse*, s'être laissé emporter.

5. «Cicéron employa la même figure dans une autre occasion. «*Cicero* (dit Quintilien, II, 17) *se tenebras offudisse in causa Cluentii gloriatus est.*»

6. M. Licinius Crassus, qui fut plus tard triumvir.

7. *Βήματος*, la tribune aux harangues dans le Forum.

8. *Μελέτης ἕνεκεν . . . . εἰς φαύλην ὑπόθεσιν* Amyot: «Pour plus exerciter mon éloquence, j'avois pris un mauvais subject à louer.»

τῶν δὲ μεγάλων καὶ θαυμαστῶν ἐπαίνων, οἷς πολλαχοῦ χρῆται περὶ τοῦ ἀνδρός, καὶ ὅτι περὶ οὓς μάλιστα τῶν ἰδίων ἐσπούδασε λόγων, τοὺς κατ' Ἀντωνίου, Φιλιππικοὺς ἐπέγραψεν, ἀμνημονοῦσι (11).

Τῶν δὲ κατ' αὐτὸν ἐνδόξων ἀπὸ λόγου καὶ φιλοσοφίας οὐκ ἐποίησεν ἐνδοξότερον ἢ τι λέγων ἢ γράφων εὐμενῶς περὶ ἑκάστου. Κρατίππῳ δὲ τῷ περιπατητικῷ διεπράξατο μὲν Ῥωμαίῳ γενέσθαι (12) *παρὰ Καίσαρος ἄρχοντος ἤδη, διεπράξατο δὲ καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ψηφίσασθαι δεηθῆναι μένειν αὐτὸν* (13) *ἐν Ἀθήναις καὶ διαλέγεσθαι τοῖς νέοις ὡς κοσμοῦντα τὴν πόλιν. ἐπιστολαὶ δὲ περὶ τούτων Κικέρωνος εἰσὶ πρὸς Ἡρώδην* (14), *ἕτεραι δὲ πρὸς τὸν υἱόν, ἐγκελευομένου συμφιλοσοφεῖν Κρατίππῳ. Γοργίαν δὲ τὸν ῥητορικὸν αἰτιώμενος πρὸς ἡδονὰς προάγειν καὶ πότους τὸ μειράκιον, ἀπελαύνει τῆς συνουσίας αὐτοῦ* (15).

Καὶ σχεδὸν αὕτη γε τῶν Ἑλληνικῶν μία, καὶ δευτέρα πρὸς Πέλοπα τὸν Βυζάντιον, ἐν ὀργῇ τινι γέγραπται (16), *τὸν μὲν Γορ-*

Horatio vero etiam Homerus ipse videatur.» (Allusion, en dernier lieu au *Quandoque bonus dormitat Homerus* d'Horace.)

11. *Τῶν δὲ μεγάλων καὶ θαυμαστῶν ἐπαίνων οἷς, ... ἀμνημονοῦσι* Amyot: «Et cependant ilz oublient à dire les grandes et merveilleuse louanges qu'il luy donne ailleurs, et qu'il appella les oraisons qu'il escr vit contre Antonius, es quelles il employa plus de peine et plus d'estud qu'en nulles autres, Philippiques, à *l'imitation de celles que Demosthenes e crivit contre Philippus, roy de Macedoine.*» Amyot a conservé la con struction du grec où le verbe *ἀμνημονοῦσι* gouverne: 1° un régime sub stantif (*τῶν ἐπαινῶν*), 2° une phrase subordonnée (*καὶ ὅτι κτλ.*): on ne ferait plus en français d'aujourd'hui.

12. *Ῥωμαίῳ γενέσθαι*, être fait citoyen romain.

13. *Διεπράξατο δὲ καὶ . . . . αὐτὸν*, il fit que le Sénat de l'Aréopa vota qu'on le prierait de rester.

14. Ces lettres, écrites par Cicéron à l'Athénien Hérode, précepteur son fils à Athènes, au sujet du décret à faire rendre par l'aréopage faveur de Cratippe, sont perdues, ainsi que celles dont il est ensuite qu tion, de Cicéron à son fils, pour l'engager à suivre les leçons du mê Cratippe. Dans une lettre de Trebonius, envoyée d'Athènes à Cicéron mois de mai 44 av. J.-C., on lit (*Ad famil.*, XII, xvi, 2): «*Illud quo erit nobis curae ut Cratippus una cum filio tuo sit.*»

15. Voici ce qu'on lit dans une lettre de Cicéron le jeune à Tiron secrétaire de son père (*Ad famil.*, XVI, xxi, 3 et 6), d'abord au suje Cratippe: «*Cratippo me scito non ut discipulum, sed ut filium esse junctissimum . . . Sum totos dies cum eo noctisque saepenumero pa exoro enim ut mecum quam saepissime cenet*, etc.;» puis, de Gorgias *Gorgia autem quod mihi scribis, erat quidem ille in quotidiana declama utilis, sed omnia postposui dummodo praeceptis patris parerem, diag enim scripserat ut eum dimitterem statim*, etc.» Il faut bien prendre de confondre ce «rhétoricien» Gorgias (comme l'appelle Amyot) a célèbre rhéteur sicilien du même nom, qui vint à Athènes au tem Socrate.

16. *Καὶ σχεδὸν αὕτη . . . γέγραπται.* Amyot: «Il n'y a entre ses

γίαν αὐτοῦ προσηκόντως ἐπικ[illegible] [illegible] ἐν φ[illegible] [illegible] λαστος, ὡς ἐδόκει. πρὸς δὲ τὸν Π[illegible] [illegible] (1) [illegible] μεμψιμοιροῦντος ὥσπερ [illegible] τινι, [illegible] παρὰ Βυζαντίων γενέσθαι [illegible].

CHAPITRE XX[illegible]

Ταῦτά τε δὴ φιλοτιμ[illegible] [illegible] τῇ δεινότητι [illegible] [illegible] αὐτοῦ [illegible] [illegible]

[illegible]

[illegible]

[illegible]

καὶ λέγοντος « Τί δ' ἂν ἐγὼ παθὼν τοῦτ' εἶπον;» «Ἤιδεις» ἐφ
«Ῥωμαίους ἡδέως ἀκουσομένους καὶ διὰ τοῦτ' (9) *ἐδημαγώγεις.»*
Ἀρέσκεσθαι δὲ τοῦ Κράσσου τοῖς Στωϊκοῖς φήσαντος, ὅτ
πλούσιον εἶναι τὸν ἀγαθὸν ἀποφαίνουσιν, «Ὅρα, μὴ μᾶλλον
εἶπεν «ὅτι πάντα τοῦ σοφοῦ λέγουσιν εἶναι (10). *» Διεβάλλετο*
εἰς φιλαργυρίαν ὁ Κράσσος.
Ἐπεὶ δὲ τοῦ Κράσσου τῶν παίδων ὁ ἕτερος, Ἀξίῳ τινὶ δοκῶ
ὅμοιος εἶναι καὶ διὰ τοῦτο τῇ μητρὶ προστριβόμενος αἰσχρὰν ἐπ
τῷ Ἀξίῳ διαβολήν, εὐδοκίμησε λόγον ἐν βουλῇ διελθών, ἐρωτη
θεὶς ὁ Κικέρων, τί φαίνεται αὐτῷ, «Ἄξιος» εἶπε «Κράσσου».

CHAPITRE XXVI.

Μέλλων δ' ὁ Κράσσος εἰς Συρίαν ἀπαίρειν (1) *ἐβούλετο τὸ*
Κικέρωνα φίλον αὐτῷ μᾶλλον ἢ ἐχθρὸν εἶναι· καὶ φιλοφρονού
μενος ἔφη βούλεσθαι δειπνῆσαι παρ' αὐτῷ· κἀκεῖνος ὑπεδέξατ
προθύμως (2). *Ὀλίγαις δ' ὕστερον ἡμέραις περὶ Βατινίου* (3) *φί*
λων τινῶν ἐντυγχανόντων ὡς μνωμένου διαλύσεις καὶ φιλίαν (ἦ
γὰρ ἐχθρός), «Οὐ δήπου καὶ Βατίνιος» εἶπε «δειπνῆσαι παρ
ἐμοὶ βούλεται;»
Πρὸς μὲν οὖν Κράσσον τοιοῦτος· αὐτὸν δὲ τὸν Βατίνιον, ἔχοντ
χοιράδας ἐν τῷ τραχήλῳ καὶ λέγοντα δίκην, «οἰδῶντα ῥήτορα
προσεῖπεν. Ἀκούσας δ' ὅτι τέθνηκεν, εἶτα μετὰ μικρὸν πυθό
μενος σαφῶς ὅτι ζῇ· «Κακὸς τοίνυν ἀπόλοιτο κακῶς ὁ ψευσά
μενος (4). *»*
Ἐπεὶ δὲ Καίσαρι, ψηφισαμένῳ τὴν ἐν Καμπανίᾳ χώραν κατα
νεμηθῆναι τοῖς στρατιώταις, πολλοὶ μὲν ἐδυσχέραινον ἐν τῇ βουλῇ
Λεύκιος δὲ Γέλλιος, ὁμοῦ τι (5) *πρεσβύτατος ὤν, εἶπεν ὡς ο*

---

9. *Διὰ τοῦτο*, par le moyen de cela, de cette parole; en disant cela.
10. *Ὅρα . . . . λέγουσιν εἶναι.* Amyot: «Regarde que *ce* ne *soit* plus tos
pour ce qu'ilz disent que tout est au sage.»
Ch. XXVI.] 1. Après son consulat de l'année 55, où il avait eu Pompé
pour collègue.
2. Cicéron (*Ad familiares*, I, IX, 20): «*Crassus, ut quasi testata popul
Romano esset nostra gratia, paene a meis Laribus in provinciam est pro
fectus: nam, quum mihi condixisset, cenavit apud me in mei generi Crassi
pedis hortis.*»
3. *Βατινίου.* C'est le même Vatinius dont le nom se trouve transcrit *Οὐα-
τίνιος* au chapitre IX.
4. *Κακὸς τοίνυν . . . . ὁ ψευσάμενος.* Amyot: «Male mort, dit-il, viene
à celuy qui a si mal menty.»
5. *Ὁμοῦ τι, à peu près.*

γενήσεται τοῦτο ζῶντος αὐτοῦ, « Περιμείνωμεν. » ὁ Κικέρων ἔφη « μακρὰν γὰρ οὐκ αἰτεῖται Γέλλιος ὑπέρθεσιν. »

Ἦν δέ τις Ὀκταούϊος αἰτίαν ἔχων ἐκ Λιβύης γεγονέναι· πρὸς τοῦτον ἔν τινι δίκῃ λέγοντα τοῦ Κικέρωνος μὴ ἐξακούειν « Καὶ μὴν οὐκ ἔχεις » εἶπε « τὸ οὖς ἀτρύπητον ».(6)

Μετέλλου δὲ Νέπωτος εἰπόντος ὅτι πλείονας καταμαρτυρῶν ἀνῄρηκεν(7) ἢ συνηγορῶν σέσωκεν, « Ὁμολογῶ γάρ » ἔφη « πίστεως ἐν ἐμοὶ πλέον ἢ δεινότητος εἶναι. »

Νεανίσκου δέ τινος, αἰτίαν ἔχοντος ἐν πλακοῦντι φάρμακον τῷ πατρὶ δεδωκέναι, θρασυνομένου καὶ λέγοντος ὅτι λοιδορήσει τὸν Κικέρωνα, « Τοῦτο » ἔφη « παρὰ σοῦ βούλομαι μᾶλλον ἢ πλακοῦντα. »

Ποπλίου δὲ Σηστίου συνήγορον μὲν αὐτὸν (8) ἔν τινι δίκῃ μεθ' ἑτέρων παραλαβόντος, αὐτοῦ δὲ πάντα βουλομένου λέγειν (9) καὶ μηδενὶ παριέντος εἰπεῖν, ὡς δῆλος ἦν ἀφιέμενος ὑπὸ τῶν δικαστῶν, ἤδη τῆς ψήφου φερομένης· « Χρῶ σήμερον » ἔφη « τῷ καιρῷ, Σήστιε· μέλλεις γὰρ αὔριον ἰδιώτης εἶναι(10). »

Πόπλιον δὲ Κώνσταν(11) νομικὸν εἶναι βουλόμενον(12), ὄντα δ' ἀφυῆ καὶ ἀμαθῆ, πρός τινα δίκην ἐκάλεσε μάρτυρα. Τοῦ δὲ μηδὲν εἰδέναι φάσκοντος, « Ἴσως » ἔφη « δοκεῖς περὶ τῶν νομικῶν ἐρωτᾶσθαι(13). »

Μετέλλου δὲ Νέπωτος ἐν διαφορᾷ τινι πολλάκις λέγοντος « Τίς σοὶ πατήρ ἐστιν, ὦ Κικέρων; » « Σοὶ ταύτην » ἔφη « τὴν ἀπόκρισιν ἡ μήτηρ χαλεπωτέραν ἐποίησεν. » Ἐδόκει δ' ἀκόλαστος ἡ

---

6. Ce mot est cité chez Macrobe (*Saturnales*, VII, III, 7) comme exemple de *scomma* ou plaisanterie: « Octavius, qui natu nobilis videbatur, Ciceroni recitanti ait: *Non audio quae dicis.* Ille respondit: *Certe solebas bene foratas auras habere.* Hoc eo dictum quia Octavius Libys oriundus dicebatur, quibus mos est aurem forare. »

7. Le sujet est Cicéron.

8. « Nous avons encore un plaidoyer de Cicéron pour P. Sextius ou Sestius, tribun du peuple, accusé *de vi* (pour violences exercées dans son tribunat, en faveur de Cicéron). C'était, à ce qu'il paraît, un parleur de peu de goût; Cicéron dit, au sujet d'une rédaction faite par lui: *Nihil unquam legi scriptum σηστιωδέστερον.* »

9. *Αὐτοῦ δὲ . . . . λέγειν.* Amyot: « Mais neantmoins il vouloit luy mesme (αὐτοῦ) toujours parler. »

10. Le sens de cette plaisanterie ne paraît pas bien facile à saisir.

11. « D'autres textes portent *Κότταν*, d'autres encore *Κάστον, Κάσσιον, Κόϊντον*, de sorte qu'on ne sait de qui il est question ici. »

12. *Νομικὸν εἶναι βουλόμενον.* Qui « vouloit estre tenu pour sçavant homme en droit. » (Amyot.)

13. *Ἴσως δοκεῖς περὶ τῶν νομικῶν ἐρωτᾶσθαι.* Amyot: « Tu penses, à l'adventure, que lon te demande du droit. »

μήτηρ εἶναι τοῦ Νέπωτος. Αὐτὸς δέ τις εὐμετάβολος (14)· *καί ποτε τὴν δημαρχίαν ἀπολιπὼν ἄφνω, πρὸς Πομπήϊον ἐξέπλευσεν εἰς Συρίαν, εἶτ' ἐκεῖθεν ἐπανῆλθεν ἀλογώτερον· θάψας δὲ Φίλαγρον τὸν καθηγητὴν ἐπιμελέστερον, ἐπέστησεν αὐτοῦ τῷ τάφῳ κόρακα λίθινον* (15)· *καὶ ὁ Κικέρων « Τοῦτ' » ἔφη « σοφώτατον ἐποίησας· πέτεσθαι γάρ σε μᾶλλον ἢ λέγειν ἐδίδαξεν. »*

Ἐπεὶ δὲ Μάρκος Ἄππιος ἔν τινι δίκῃ προοιμιαζόμενος εἶπε φίλον αὐτοῦ δεδεῆσθαι παρασχεῖν ἐπιμέλειαν (16) *καὶ λογιότητα καὶ πίστιν, « Εἶθ' οὕτως » ἔφη « σιδηροῦς γέγονας ἄνθρωπος, ὥστε μηδὲν ἐκ τοσούτων ὧν ᾐτήσατο φίλῳ παρασχεῖν; »*

CHAPITRE XXVII.

Τὸ μὲν οὖν πρὸς ἐχθροὺς ἢ πρὸς ἀντιδίκους σκώμμασι χρῆσθαι πικροτέροις δοκεῖ ῥητορικὸν εἶναι (1)· *τὸ δ' οἷς ἔτυχε προσκρούειν ἕνεκα τοῦ γελοίου* (2) *πολὺ συνῆγε μῖσος αὐτῷ. Γράψω δὲ καὶ τούτων ὀλίγα.*

Μάρκον Ἀκύλλιον (3), *ἔχοντα δύο γαμβροὺς φυγάδας, Ἄδραστον* (4) *ἐκάλει.*

Λευκίου δὲ Κόττα τὴν τιμητικὴν ἔχοντος ἀρχήν (5), *φιλοινοτά-*

---

14. Sous-entendu *ἐδόκει εἶναι.*

15. C'était sans doute une façon de dire que Philagre avait été un *Corax*: le célèbre Syracusain Corax passait pour avoir inventé la rhétorique. — Dans les *Apophthegmes*, où cette anecdote est aussi relatée, le maître est appelé, au lieu de Philagre, Diodote.

16. *Φίλον . . . . ἐπιμέλειαν.* « Que son amy l'avoit bien instamment requis et prié d'employer en son procès toute diligence, etc. » (Amyot).

Ch. XXVII.] 1. *Δοκεῖ ῥητορικὸν εἶναι.* Amyot: « C'est une partie de bon orateur. » Il y a dans le second livre du *De Oratore* de Cicéron un long développement sur l'esprit et son emploi dans l'art oratoire. Cela commence au chap. LIV (§ 216). par les mots: « *Suavis autem est et vehementer saepe utilis jocus et facetiae.* » Lisez surtout à partir du ch. LVIII (§ 236): « *Est plane oratoris movere risum, vel quod ipsa hilaritas benevolentiam conciliat ei per quem excitata est, vel quod admirantur omnes acumen, uno saepe in verbo positum,* » etc.

2. Ce membre de phrase entier *τὸ . . . γελοίου* est le sujet de *συνῆγε.* « Mais d'en picquer indifferemment tout le monde pour faire rire les assistans, » traduit Amyot. — *Οἷς ἔτυχε*, ceux que cela se trouve. — Cicéron dit lui-même dans une lettre à Pætus (*Ad famil.*, IX, XVI, 3): « *Effugere autem si velim nonnullorum acute aut facete dictorum famam, fama ingenii mihi esset abjicienda: quod si possem, non recusarem.* »

3. En latin *M. Aquilium.*

4. *Ἄδραστον.* « Adraste, roi d'Argos, avait marié ses deux filles à Tydée et à Polynice, tous deux bannis de leur patrie. »

5. *Τὴν τιμητικὴν ἀρχήν*, la censure.

τοῦ δ' ὄντος, ὑπατείαν μετιὼν ὁ Κικέρων ἐδίψησε, καὶ τῶν φίλων κύκλῳ περιστάντων, ὡς ἔπινεν, «Ὀρθῶς φοβεῖσθε» εἶπε «μή μοι γένηται χαλεπὸς ὁ τιμητὴς ὅτι ὕδωρ πίνω.»

Βωκωνίῳ[6] δ' ἀπαντήσας ἄγοντι μεθ' ἑαυτοῦ τρεῖς ἀμορφοτάτας θυγατέρας ἀνεφθέγξατο

«Φοίβου ποτ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα[7].»

Μάρκου δὲ Γελλίου δοκοῦντος οὐκ ἐξ ἐλευθέρων γεγονέναι, λαμπρᾷ δὲ τῇ φωνῇ καὶ μεγάλῃ γράμματα πρὸς τὴν σύγκλητον ἐξαναγνόντος, «Μὴ θαυμάζετε·» εἶπε «καὶ αὐτὸς εἷς ἐστι τῶν ἀναπεφωνηκότων[8].»

Ἐπεὶ δὲ Φαῦστος ὁ Σύλλα, τοῦ μοναρχήσαντος ἐν Ῥώμῃ καὶ πολλοὺς ἐπὶ θανάτῳ προγράψαντος, ἐν δανείοις γενόμενος καὶ πολλὰ τῆς οὐσίας διασπαθήσας ἀπάρτιον προέγραψε, ταύτην ἔφη μᾶλλον αὐτῷ τὴν προγραφὴν[9] ἀρέσκειν ἢ τὴν πατρῴαν.

CHAPITRE XXVIII.

Ἐκ δὲ τούτων ἐγίνετο πολλοῖς ἐπαχθής· καὶ οἱ μετὰ Κλωδίου συνέστησαν ἐπ' αὐτὸν ἀρχὴν τοιαύτην λαβόντες. Ἦν Κλώδιος ἀνὴρ εὐγενής[1], τῇ μὲν ἡλικίᾳ νέος, τῷ δὲ φρονήματι θρασὺς καὶ αὐθάδης. Οὗτος, ἐρῶν Πομπηΐας τῆς Καίσαρος γυναικός, εἰς τὴν οἰκίαν αὐτοῦ παρεισῆλθε κρύφα, λαβὼν ἐσθῆτα καὶ σκευὴν ψαλτρίας· ἔθυον[2] γὰρ ἐν τῇ Καίσαρος οἰκίᾳ τὴν ἀπόρρητον ἐκείνην καὶ ἀθέατον ἀνδράσι θυσίαν αἱ γυναῖκες, καὶ παρῆν ἀνὴρ οὐδείς· ἀλλὰ μειράκιον ὢν ἔτι καὶ μήπω γενειῶν ὁ Κλώδιος ἤλπιζε λήσεσθαι διαδὺς πρὸς τὴν Πομπηΐαν μετὰ τῶν γυναικῶν.

---

6. En latin, *Voconius*.

7. Ce vers, tiré on ne sait de quel auteur, semble bien faire allusion au roi de Thèbes Laïus. *Φοίβου οὐκ ἐῶντος*, «contre l'oracle rendu par Apollon.»

8. Le sens premier et ordinaire du verbe *ἀναφωνεῖν* est «dire ou lire à haute et intelligible voix». Le même mot s'employait dans l'expression courante *ἐλευθερίαν ἀναφωνεῖ* (en parlant d'un esclave), *il réclame sa liberté*. Le mot de Cicéron était, comme on voit, à double entente.

9. *Προγραφή* et, en latin, *proscriptio* veulent dire proprement «publication par affiche». La *proscriptio* de Faustus, c'était simplement l'affichage de la vente de ses biens: on sait ce que fut la *proscriptio* de son père.

Ch. XXVIII.] 1. Voy. note 4 du ch. XXXIV.

2. Sur cette cérémonie annuelle en l'honneur de la Bonne Déesse, voy le chapitre XIX.

Ὡς δ' εἰσῆλθε νυκτὸς εἰς οἰκίαν μεγάλην, ἠπόρει τῶν διόδων(3) καὶ πλανώμενον αὐτὸν ἰδοῦσα θεραπαινὶς Αὐρηλίας, τῆς Καίσαρος μητρός, ἤτησεν ὄνομα. Φθέγξασθαι δ' ἀναγκασθέντος αὐτοῦ καὶ φήσαντος ἀκόλουθον Πομπηΐας ζητεῖν Ἅβραν τοὔνομα, συνεῖσα τὴν φωνὴν οὐ γυναικὸς οὖσαν, ἀνέκραγε καὶ συνεκάλει τὰς γυναῖκας. Αἱ δ' ἀποκλείσασαι τὰς θύρας καὶ πάντα διερ[illegible]μεναι λαμβάνουσι τὸν Κλώδιον εἰς οἴκημα παιδίσκης, ᾗ [illegible]σῆλθε, καταπεφευγότα. Τοῦ δὲ πράγματος περιβοήτου γε[illegible]νου, Καῖσαρ τότε τὴν Πομπηΐαν ἀφῆκε, καὶ δίκην τις τῶ[illegible]μάρχων ἀσεβείας ἐγράψατο τῷ Κλωδίῳ(4).

CHAPITRE XXIX.

Κικέρων δ' ἦν μὲν αὐτοῦ φίλος(1), καὶ τῶν περὶ Κατιλ[illegible] πραττομένων ἐκέχρητο προθυμοτάτῳ συνεργῷ καὶ φύλακι σώματος· ἰσχυριζομένου(2) δὲ πρὸς τὸ ἔγκλημα τῷ μηδὲ γεγ[illegible]ναι κατ' ἐκεῖνον τὸν χρόνον ἐν Ῥώμῃ, ἀλλ' ἐν τοῖς πορρωτ[illegible] χωρίοις διατρίβειν, κατεμαρτύρησεν ὡς(3) ἀφιγμένου τε πρὸς τὴν οἴκαδε καὶ διειλεγμένου περί τινων· ὅπερ ἦν ἀληθές. [illegible]μὴν ἐδόκει μαρτυρεῖν ὁ Κικέρων διὰ τὴν ἀλήθειαν, ἀλλὰ π[illegible] τὴν αὐτοῦ γυναῖκα Τερεντίαν ἀπολογούμενος(4). Ἦν γὰρ α[illegible] πρὸς τὸν Κλώδιον ἀπέχθεια διὰ τὴν ἀδελφὴν τὴν ἐκείνου Κ[illegible]δίαν, ὡς τῷ Κικέρωνι βουλομένην(5) γαμηθῆναι καὶ τοῦτο δ[illegible]

---

3. Ἠπόρει τῶν διόδων, comme s'il y avait ἐν ἀπορίᾳ ἦν τῶν διόδων, il ne savait pas où aller.

4. Sur ce passage, voyez ci-après l'Avis relatif à la constitution du texte. Plutarque ne semble pas être ici bien au courant de ce qui se passa. Clodius fut déféré par un sénatus-consulte à un tribunal — qui, d'ailleurs, l'acquitta — ; son principal accusateur fut, non pas l'un des tribuns, mais L. Lentulus Crus (cf. Cicéron, *De haruspicum responso*, XVII, § 37).

Ch. XXIX.] 1. Φίλος est peut-être beaucoup dire, bien que rien n'empêche qu'il ait pu exister entre Cicéron et Clodius une liaison passagère. Quant à ce qui vient ensuite (καὶ τῶν περὶ Κατιλίναν κτλ.), ce n'est guère d'accord avec le témoignage de Cicéron lui-même, qui, — mais dans la suite seulement, il est vrai — traita à plusieurs reprises Clodius de partisan et d'intime de Catilina (*Pro Milone*, 14 et 21 ; *De harusp. resp.*, 3).

2. Ἰσχυριζομένου (τοῦ Κλωδίου). — Κατεμαρτύρησεν (ὁ Κικέρων). — Ἀφιγμένου (τοῦ Κλωδίου).

3. Sur cette construction, voy. la note 12 du chap. III et la note 6 du ch. XXIV.

4. Amyot : « Mais toutefois il semble que Ciceron ne le faisoit pas tant pour le regard de la verité, que pour se justifier envers sa femme Terentia. »

5. De βουλομένην, vu que celle-ci voulait.

Τύλλου τινὸς Ταραντίνου(6) πράττουσαν, ὃς ἑταῖρος μὲν ἦν καὶ συνήθης ἐν τοῖς μάλιστα Κικέρωνος, ἀεὶ δὲ πρὸς τὴν Κλωδίαν φοιτῶν καὶ θεραπεύων ἐγγὺς οἰκοῦσαν ὑποψίαν τῇ Τερεντίᾳ παρέσχε. Χαλεπὴ δὲ τὸν τρόπον οὖσα καὶ τοῦ Κικέρωνος ἄρχουσα, παρώξυνε τῷ Κλωδίῳ συνεπιθέσθαι καὶ καταμαρτυρῆσαι.

Κατεμαρτύρουν δὲ τοῦ Κλωδίου πολλοὶ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν ἐπιορκίας, ῥᾳδιουργίας, ὄχλων δεκασμούς, φθορὰς γυναικῶν. Οὐ μὴν ἀλλὰ τότε τοῦ δήμου πρὸς τοὺς καταμαρτυροῦντας αὐτοῦ καὶ συνεστῶτας ἀντιπραττομένου, φοβηθέντες οἱ δικασταὶ φυλακὴν περιεστήσαντο(7), καὶ τὰς δέλτους(8) οἱ πλεῖστοι συγκεχυμένοις τοῖς γράμμασιν ἤνεγκαν· ὅμως δὲ πλείονες ἔδοξαν οἱ ἀπολύοντες γενέσθαι(9). Καί τις ἐλέχθη καὶ δεκασμὸς διελθεῖν· ὅθεν ὁ μὲν Κάτλος ἀπαντήσας τοῖς δικασταῖς «Ὑμεῖς» εἶπεν «ὡς ἀληθῶς ὑπὲρ ἀσφαλείας ᾐτήσασθε τὴν φυλακήν, φοβούμενοι μή τις ὑμῶν ἀφέληται τὸ ἀργύριον(10).»

---

6. *Τύλλου Ταραντίνου*. C'est peut-être de ce Tullus que parle Cicéron dans les Lettres IX et XV du livre VIII à Atticus. — Sur l'absence du *nomen gentilicium*, voy. la note 14 du ch. XVIII.

7. « Le tribunal du préteur, au milieu du Forum, à ciel ouvert, entouré d'un petit mur à hauteur d'appui, était exposé à toutes les violences d'une foule ameutée. »

8. A Rome, les juges, au criminel, votaient en écrivant sur une petite tablette enduite de cire (δέλτος), soit la lettre A = *absolvo*, soit la lettre C = *condemno*, soit les deux lettres N. L. = *non liquet*, et jetant cette tablette dans l'urne.

9. Plutarque rapporte le même fait, au chap. X de la *Vie de César*, dans les termes suivants: Ἀποφεύγει δ' οὖν τὸ ἔγκλημα τῶν πλείστων δικαστῶν συγκεχυμένοις τοῖς γράμμασι τὰς γνώμας ἀποδόντων, ὅπως μήτε παρακινδυνεύσωσιν ἐν τοῖς πολλοῖς καταψηφισάμενοι μήτε ἀπολύσαντες ἀδοξήσωσι παρὰ τοῖς ἀρίστοις. Étant donnée la façon de voter des juges romains, expliquée dans la note précédente, et dont Plutarque ne semble pas s'être rendu compte, les mots δέλτους (ou γνώμας) συγκεχυμένοις τοῖς γράμμασι (= « es tablettes où ilz escrivirent leurs sentences, les lettres en la plus part estoient toutes confuses, » comme traduit Amyot) ne correspondent à rien de réel. Plutarque aura sans doute mal compris le texte latin auquel il emprunte le récit de l'affaire. Les juges auxquels la raison qu'il donne dans le passage cité de la *Vie de César* (ὅπως μήτε κτλ.) a dicté leur sentence, ont dû voter N. L.; on ne voit pas pourquoi un juge qui, s'il ne veut ni condamner ni absoudre, n'a qu'à voter N. L., tracerait des lettres confuses, susceptibles d'être interprétées soit dans le sens de la condamnation, soit dans celui de l'absolution. Cicéron, dans le passage qui va être cité à la note suivante, ne parle que de ceux qui votèrent A ou C.

10. Cicéron (*Ad Attic.*, I, XVI, 5), après avoir dit un mot de la corruption des juges par Clodius, continue: « *Ita summo discessu bonorum, pleno foro servorum, XXV judices ita fortes tamen fuerunt ut summo propositio periculo vel perire maluerint quam perdere omnia: XXXI fuerunt quos fames magis quam fama commoveret: quorum Catulus quum vidisset quendam* [τοῖς δικάσταις n'est pas heureusement dit chez Plutarque, au lieu de τινὶ

τον ἐκ τῶν περὶ Κατιλίναν, ἠξίωσε(5) πρεσβευτὴς αὐτῷ συστρατεύειν. Δεξαμένου δὲ τοῦ Καίσαρος, ὁ Κλώδιος, ὁρῶν ἐκφεύγοντα τὴν δημαρχίαν αὐτοῦ, τὸν Κικέρωνα προσεποιεῖτο συμβατικῶς ἔχειν, καὶ τῇ Τερεντίᾳ τὴν πλείστην αἰτίαν ἀνατιθείς, ἐκείνου δὲ μεμνημένος ἐπιεικῶς ἀεὶ καὶ λόγους εὐγνώμονας ἐνδιδούς, ὡς ἄν τις(6) οὐ μισῶν οὐδὲ χαλεπαίνων, ἀλλ' ἐγκαλῶν μέτρια καὶ φιλικά, παντάπασιν αὐτοῦ τὸν φόβον ἀνῆκεν, ὥστ' ἀπειπεῖν τῷ Καίσαρι τὴν πρεσβείαν καὶ πάλιν ἔχεσθαι τῆς πολιτείας. Ἐφ' ᾧ παροξυνθεὶς ὁ Καῖσαρ τόν τε Κλώδιον ἐπέρρωσε καὶ Πομπήϊον ἀπέστρεψε κομιδῇ τοῦ Κικέρωνος, αὐτός τε κατεμαρτύρησεν(9) ἐν τῷ δήμῳ μὴ δοκεῖν αὐτῷ καλῶς μηδὲ νομίμως ἄνδρας ἀκρίτους ἀνῃρῆσθαι τοὺς περὶ Λέντλον καὶ Κέθηγον(8). Αὕτη γὰρ ἦν ἡ κατηγορία καὶ ἐπὶ τούτῳ Κικέρων ἐνεκαλεῖτο(9). Κινδυνεύων οὖν καὶ διωκόμενος ἐσθῆτά τε μετήλλαξε καὶ κόμης ἀνάπλεως(10) περιϊὼν ἱκέτευε τὸν δῆμον. Πανταχοῦ δ' ὁ Κλώδιος ἀπήντα κατὰ τοὺς στενωπούς, ἀνθρώπους ἔχων ὑβριστὰς καὶ θρασεῖς περὶ αὐτόν, οἳ πολλὰ μὲν χλευάζοντες ἀκολάστως εἰς τὴν μεταβολὴν καὶ τὸ σχῆμα τοῦ Κικέρωνος, πολλαχοῦ δὲ πηλῷ καὶ λίθοις βάλλοντες ἐνίσταντο ταῖς ἱκεσίαις(11).

---

5. *Ἠξίωσε*. Cicéron lui-même écrit à Atticus (II, XVIII, 3): « *A Caesare valde liberaliter invitor in legationem illam, sibi ut sim legatus.* » César aurait voulu entraîner Cicéron dans sa politique personnelle.

6. *Ὡς ἄν τις* = *ὡς ποιοῖτο ἄν τις*.

7. *Κατεμαρτύρησεν*, témoigna contre ***Cicéron en disant*** (sous-entendez ces dernier mots, ceux qui sont en italique).

8. Clodius convoqua l'assemblée, non pas au Forum, mais au Champ de Mars, hors des murs, afin que César qui, déjà revêtu de l'*imperium* proconsulaire, ne pouvait plus remettre le pied dans Rome sans perdre sa charge, assistât à la réunion. Après qu'on eût demandé aux consuls leur avis sur la proposition de loi de Clodius (voy. la note suivante), César, interrogé à son tour, blâma les actes illégaux qui avaient été commis à l'égard de Lentulus et autres, mais ajouta qu'il ne convenait pas de faire maintenant une loi qui eût un effet rétroactif pour atteindre ces illégalités passées (Dion Cassius, XXXVIII, 17).

9. Velleius Paterculus (II, 45): « *Clodius legem in tribunatu tulit,* QUI CIVEM ROMANUM INDEMNATUM INTEREMISSET, EI AQUA ET IGNI INTERDICERETUR; *cujus verbis etsi non nominabatur Cicero, tamen solus petebatur.* » — Amyot: « Car c'estoit (*αὕτη γὰρ ἦν*) l'accusation de Cicéron » (*ἡ κατηγορία*). Notez l'accord de *αὕτη*, qui donne ici le même sens que *τοῦτο*, avec *κατηγορία*.

10. Voy. la note 6 du ch. IX.

11. Cicéron (*Pro Sestio*, XII, § 27): « *Hac mutatione vestis facta, tanto in luctu civitatis, omitto quid ille tribunus, omnium rerum divinarum humanarumque praedo, fecerit, qui adesse nobilissimos adolescentes, honestissimos equites Romanos, deprecatores salutis meae jusserit eosque operarum suarum gladiis et lapidibus objecerit.* »

CHAPITRE XXXI.

Οὐ μὴν ἀλλὰ τῷ Κικέρωνι πρῶτον μὲν ὀλίγου δεῖν συμπαν τὸ τῶν ἱππικῶν πλῆθος συμμετέβαλε τὴν ἐσθῆτα, καὶ δισμυρίων οὐκ ἐλάττους νέων παρηκολούθουν κομῶντες καὶ συνικετεύοντες(1)*· ἔπειτα τῆς βουλῆς συνελθούσης, ὅπως ψηφίσαιτο τὸν δῆμον ὡς ἐπὶ πένθεσι μεταβαλεῖν τὰ ἱμάτια, καὶ τῶν ὑπάτων ἐναντιωθέντων, Κλωδίου δὲ σιδηροφορουμένου περὶ τὸ βουλευτήριον ἐξέδραμον οὐκ ὀλίγοι τῶν συγκλητικῶν καταρρηγνύμενοι τοὺς χιτῶνας καὶ βοῶντες. Ὡς δ' ἦν οὔτ' οἶκτος οὔτε τις αἰδὼς πρὸς τὴν ὄψιν, ἀλλ' ἔδει τὸν Κικέρωνα φεύγειν ἢ βίᾳ καὶ σιδήρῳ διακριθῆναι*(2) *πρὸς τὸν Κλώδιον, ἐδεῖτο Πομπηΐου βοηθεῖν, ἐπίτηδες ἐκποδὼν γεγονότος καὶ διατρίβοντος ἐπ' ἀγροῖς*(3) *παρὰ τὸ Ἀλβανόν*(4)*. Καὶ πρῶτον μὲν ἔπεμψε Πείσωνα τὸν γαμβρὸν*(5) *δεησόμενον· ἔπειτα καὶ αὐτὸς ἀνέβη*(6)*. Πυθόμενος δ' ὁ Πομπήϊος οὐχ ὑπέμεινεν εἰς ὄψιν ἐλθεῖν, — δεινὴ γὰρ αὐτὸν αἰδὼς εἶχε πρὸς τὸν ἄνδρα, μεγάλους ἠγωνισμένον ἀγῶνας ὑπὲρ αὐτοῦ καὶ πολλὰ πρὸς χάριν ἐκείνῳ*(7) *πεπολιτευμένον, — ἀλλὰ Καίσαρι γαμβρὸς ὢν δεομένῳ προὔδωκε τὰς παλαιὰς χάριτας, καὶ κατὰ θύρας ἄλλας ὑπεξελθὼν ἀπεδίδρασκε τὴν ἔντευξιν.*

Οὕτω δὴ προδοθεὶς ὁ Κικέρων ὑπ' αὐτοῦ, καὶ γεγονὼς ἔρημος, ἐπὶ τοὺς ὑπάτους κατέφυγε. Καὶ Γαβίνιος μὲν ἦν χαλεπὸς ἀεί, Πείσων δὲ διελέχθη πρᾳότερον αὐτῷ παραινῶν ἐκστῆναι καὶ ὑποχωρῆσαι τῇ τοῦ Κλωδίου ῥύμῃ καὶ τὴν μεταβολὴν τῶν καιρῶν ἐνεγκεῖν καὶ γενέσθαι πάλιν σωτῆρα τῆς πατρίδος ἔν τε στάσεσι καὶ κακοῖς δι' ἐκεῖνον οὔσης. Τοιαύτης δὲ τυχὼν ἀποκρίσεως ὁ Κικέρων ἐβουλεύετο σὺν τοῖς φίλοις· καὶ Λεύκολλος μὲν ἐκέλευε μένειν ὡς περιεσόμενον(8)*, ἄλλοι δὲ φεύγειν, ὡς*

Ch. XXXI.] 1. Voy. le passage de Cicéron cité à la note précédente.

2. *Ἔδει διακριθῆναι*, il fallait qu'il fût combattu, qu'on combattît.

3. *Διατρίβοντος ἐπ' ἀγροῖς*, « et se tenoit en une de ses maisons aux champs. » Amyot.

4. *Τὸ Ἀλβανόν*, en latin *Albanum*, nom donné, du temps de Cicéron, à cette belle contrée, couverte alors de beaux vignobles et de maisons de plaisance, où s'était élevée jadis Albe-la-Longue. C'est à peu près l'emplacement occupé par la ville moderne d'Albano.

5. Ce n'est pas le même personnage que le Pison consul, nommé dans le chapitre précédent et plus bas dans celui-ci. Le gendre de Cicéron était C. Calpurnius Piso Frugi.

6. L'*Albanum* est une colline.

7. *Ἐκείνῳ*, comme *αὐτοῦ* quelques mots auparavant, c'est toujours Pompée.

8. *Ὡς περιεσόμενον* équivaut à: *disant qu'il serait le plus fort*. Voy. la note 12 du ch. III.

ταχὺ τοῦ δήμου ποθήσοντος αὐτόν, ὅταν ἐμπλησθῇ τῆς Κλωδίου μανίας καὶ ἀπονοίας. Ταῦτ' ἔδοξε Κικέρωνι· καὶ τὸ μὲν ἄγαλμα τῆς Ἀθηνᾶς, ὃ πολὺν χρόνον ἔχων ἐπὶ τῆς οἰκίας ἱδρυμένον ἐτίμα διαφερόντως, εἰς Καπιτώλιον κομίσας ἀνέθηκεν ἐπιγράψας «τῇ Ἀθηνᾷ Ῥώμης φύλακι(9)· » πομποὺς δὲ παρὰ τῶν φίλων λαβών, περὶ μέσας νύκτας ὑπεξῆλθε τῆς πόλεως, καὶ πεζῇ διὰ Λευκανίας ἐπορεύετο, λαβέσθαι Σικελίας βουλόμενος.

CHAPITRE XXXII.

Ὡς δ' ἦν φανερὸς ἤδη πεφευγώς, ἐπήγαγεν αὐτῷ φυγῆς ψῆφον ὁ Κλώδιος, καὶ διάγραμμα(1) προύθηκεν εἴργειν πυρὸς καὶ ὕδατος τὸν ἄνδρα(2) καὶ μὴ παρέχειν στέγην ἐντὸς μιλίων πεντακοσίων (3) Ἰταλίας. Τοῖς μὲν οὖν ἄλλοις ἐλάχιστος ἦν τοῦ διατάγματος τούτου λόγος(4) αἰδουμένοις τὸν Κικέρωνα, καὶ πᾶσαν ἐνδεικνύμενοι φιλοφροσύνην παρέπεμπον αὐτόν· ἐν δ' Ἱππωνίῳ, πόλει τῆς Λευκανίας(5), ἣν Οὐιβῶνα νῦν καλοῦσιν(6), Οὔιβιος, ἀνὴρ ἄλλα τε πολλὰ τῆς Κικέρωνος φιλίας ἀπολελαυκὼς καὶ γεγονώς, ὑπατεύοντος αὐτοῦ, τεκτόνων ἔπαρχος(7), οἰκίᾳ μὲν οὐκ

---

9. Ἀθηνᾷ Ῥώμης φύλακι. Cicéron à Cornificius (*Ad fam.*, XII, 25): «*Minerva nostra, custos urbis* . . . » Cf., dans ses *Lois* (II, XVII, 42): «*Nos, qui illam custodem urbis, omnibus ereptis nostris rebus ac perditis, violari ab impiis passi non sumus, eamque ex nostra domo in ipsius patris domum detulimus.*»

Ch. XXXII.] 1. Plutarque, *Vie de Marcellus* (chap. XXIV): Τὰ διαγράμματα τῶν ἀρχόντων Ἕλληνες μὲν διατάγματα, Ῥωμαῖοι δὲ ἔδικτα (edicta) προσαγορεύουσι.

2. Εἴργειν κτλ. = *ei aqua et igni interdici.*

3. Πεντακοσίων. Cicéron (*Ad Attic.*, III, 4): «*Allata est enim nobis* (a Vibone) *rogatio de pernicie mea, in qua quod correctum esse audieramus erat ejusmodi, ut mihi ultra* QUADRINGENTA *millia liceret esse.*»

4. Ἐλάχιστος . . . λόγος, «ne feirent compte aucun de ceste deffense.» (Amyot.)

5. Non pas en Lucanie, mais plus au sud, dans le Brutium.

6. «Aujourd'hui encore *Bivona*, mais selon d'autres, *Monte Leone.*» (Dübner.)

7. Ce que Plutarque rapporte ici de Vibius convient fort bien à Sicca, cet ami de Cicéron, dont le nom revient à plusieurs reprises dans ses lettres, notamment dans la IIe et la IVe lettre du IIIe livre à Atticus: «*Itineris nostri causa fuit quod non habebam locum ubi pro meo jure diutius esse possem quam in fundo Sicae;*» cf. la lettre III (du même jour): «*Sed te oro ut ad me Vibonem statim venias.*» Cicéron espérait encore alors pouvoir rester à Vibone. La IVe lettre du même livre, datée «in itinere inter Vibonem et Brundisium mense Aprili», et postérieure de peu aux précédentes, commence ainsi: «*Miseriae nostrae potius velim quam incon-*

ἐδέξατο, τὸ χωρίον δὲ καταγράψειν(8) ἐπηγγέλλετο· καὶ Γάϊ
Οὐεργίλιος ὁ τῆς Σικελίας στρατηγός, ἀνὴρ ἐν τοῖς μάλιστα Κικ
ρωνι κεχρημένος, ἔγραψεν ἀπέχεσθαι Σικελίας(9). Ἐφ' οἷς ἀθ
μήσας ὥρμησεν ἐπὶ Βρεντέσιον(10), κἀκεῖθεν εἰς Δυρράχιον ἀν
μῳ φορῷ περαιούμενος, ἀντιπνεύσαντος πελαγίου μεθ' ἡμέρ
ἐπαλινδρόμησεν, εἶτ' αὖθις ἀνήχθη. Λέγεται δὲ καί, καταπλε
σαντος εἰς Δυρράχιον αὐτοῦ καὶ μέλλοντος ἀποβαίνειν, σεισμ
τε τῆς γῆς καὶ σπασμὸν ἅμα γενέσθαι τῆς θαλάσσης(11). Ἀφ
ὧν συνέβαλον οἱ μαντικοὶ μὴ μόνιμον αὐτῷ τὴν φυγὴν ἔσεσθαι
μεταβολῆς γὰρ εἶναι ταῦτα σημεῖα.

Πολλῶν δὲ φοιτώντων ἀνδρῶν ὑπ' εὐνοίας, καὶ τῶν Ἑλληνίδω
πόλεων διαμιλλωμένων ἀεὶ ταῖς πρεσβείαις πρὸς αὐτόν, ὅμω
ἀθυμῶν καὶ περίλυπος(12) διῆγε(13) τὰ πολλά, πρὸς τὴν Ἰταλία
ὥσπερ οἱ δυσέρωτες, ἀφορῶν καὶ τῷ φρονήματι μικρὸς ἄγαν κα
ταπεινὸς ὑπὸ τῆς συμφορᾶς γεγονὼς καὶ συνεσταλμένος, ὡς οὐ
ἄν τις ἄνδρα παιδείᾳ συμβεβιωκότα τοσαύτῃ προσεδόκησε(14)
Καίτοι πολλάκις αὐτὸς ἠξίου τοὺς φίλους μὴ ῥήτορα καλεῖν αὐ
τόν, ἀλλὰ φιλόσοφον· φιλοσοφίαν γὰρ ὡς ἔργον(15) ᾑρῆσθαι, ῥη
τορικῇ δ' ὀργάνῳ χρῆσθαι πολιτευόμενος ἐπὶ τὰς χρείας(16). Ἀλλ
ἡ δόξα δεινὴ τὸν λόγον, ὥσπερ βαφήν, ἀποκλύσαι τῆς ψυχῆς κα

---

stantiae tribuas, quod a Vibone, quo te arcessebamus, subito discessimus; allata est enim, etc. (cf. la n. 3 du prés. ch.) *Illo quum pervenire non liceret, statim iter Brundisium versus contuli ante diem rogationis ne et Sica, apud quem eram, periret.* Il y a lieu de penser que Vibius et Sicca sont deux noms du même personnage. On lit ordinairement ici dans les éditions de Plutarque: *Οὔϊβιος Σικελὸς ἀνήρ.* Le mot *Σικελός* n'existe pas dans le manuscrit de Madrid, et il est effectivement parasite. Il est possible qu'il provienne du nom *Sicca* écrit à la marge de quelque exemplaire antique, pour indiquer que le Vibius de Plutarque était le même qui était d'ailleurs connu sous cet autre nom. — *Τεκτόνων ἔπαρχος*, en latin *praefectus fabrum.*

8. *Καταγράψειν*, de lui assigner.

9. Cicéron (*Pro Plancio* XL, § 95-96): «*Siciliam petivi animo, quae et ipsa erat mihi sicut domus conjuncta et obtinebatur a C. Vergilio, quocum me uno vel maxime . . . quum fratris mei collegia tum rei publicae causa sociarat. Vide nunc caliginem temporum illorum! . . . Praetor ille . . . . me in Siciliam venire noluit.*»

10. Cicéron (*Pro Planc.*, XL, § 96): «*Tum consilio repente mutato iter a Vibone Brundisium terra petere contendi: nam maritimos cursus praecludebat hiemis magnitudo.*»

11. «Cicéron ne parle nulle part de ce prodige.»

12. Les lettres VIII à XXI du IIIe livre à Atticus témoignent de l'état d'esprit de Cicéron pendant ce temps-là.

13. *Διῆγε.* D'abord à Thessalonique, plus tard à Dyrrachium.

14. Sous-entendu *ἂν γενέσθαι.*

15. *Ἔργον*, «sa principale profession.» (Amyot.)

16. *Ῥητορικῇ .... χρείας*, «que de l'eloquence il n'en usoit sinon comme

τὰ τῶν πολλῶν ἐνομόρξασθαι(17) πάθη δι' ὁμιλίαν καὶ συνήθειαν τοῖς πολιτευομένοις, ἂν μή τις εὖ μάλα φυλαττόμενος οὕτω συμφέρηται τοῖς ἐκτός(18), ὡς τῶν πραγμάτων αὐτῶν, οὐ τῶν ἐπὶ τοῖς πράγμασι παθῶν συμμεθέξων.

CHAPITRE XXXIII.

Ὁ δὲ Κλώδιος ἐξελάσας αὐτὸν κατέπρησε μὲν αὐτοῦ τὰς ἐπαύλεις, κατέπρησε δὲ τὴν οἰκίαν(1) καὶ τῷ τόπῳ ναὸν Ἐλευθερίας ἐπῳκοδόμησε· τὴν δ' ἄλλην οὐσίαν ἐπώλει καὶ διεκήρυττε καθ' ἡμέραν(2), μηδὲν ὠνουμένου μηδενός. Ἐκ δὲ τούτου φοβερὸς ὢν τοῖς ἀριστοκρατικοῖς, καὶ τὸν δῆμον ἀνειμένον(3) εἰς ὕβριν πολλὴν καὶ θρασύτητα συνεφελκόμενος, ἐπεχείρει Πομπηΐῳ, τῶν δεδιῳκημένων αὐτῷ κατὰ τὴν στρατείαν ἔνια σπαράττων(4). Ἐφ' οἷς ὁ Πομπήϊος ἀδοξῶν(5), ἐκάκιζεν(6) αὐτὸς ἑαυτὸν προέμενος τὸν Κικέρωνα· καὶ πάλιν ἐκ μεταβολῆς παντοῖος ἐγένετο πράττων κάθοδον αὐτῷ μετὰ τῶν φίλων(7). Ἐνισταμένου δὲ τοῦ Κλωδίου, συνέδοξε τῇ βουλῇ μηδὲν διὰ μέσου πρᾶγμα κυροῦν μηδὲ πράττειν δημόσιον(8), εἰ μὴ Κικέρωνι κάθοδος γένοιτο(9).

---

d'un util [*outil*] necessaire à qui s'entremet du gouvernement des affaires.» (Amyot.) Comp. au ch. IV: *ὥσπερ ὄργανον ἐξηρτύετο τὸν ῥητορικὸν λόγον.*

17. *Ἡ δόξα δεινὴ (ἐστι) . . . . ἀποκλύσαι . . . . καὶ ἐνομόρξασθαι.* «L'opinion a grande force à effacer le discours de la raison, ne plus ne moins qu'une teinture, des ames de ceux qui s'empeschent du gouvernement des affaires publiques (*τοῖς πολιτευομένοις*), et à leur imprimer (*ἐνομόρξασθαι*), etc.» (Amyot.)

18. *Οὕτω . . . ἐκτός, se comporte de telle sorte avec le monde.* *Τοῖς ἐκτός* est ici le datif, non de *τὰ ἐκτός* mais de *οἱ ἐκτός*. Cf. *Vie de Démosthène*, p. 329, n. 1 du chap. VIII.

Ch. XXXIII.] 1. *Τὴν οἰκίαν*, sa maison à Rome, sur le Palatin.

2. *Καθ' ἡμέραν, tous les jours.* La criée était à recommencer tous les jours, puisque rien ne trouvait jamais acheteur.

3. «*Ἀνειμένον* (d'*ἀνίημι*), qui s'était abandonné, laissé aller à.»

4. *Τῶν δεδιῳκημένων . . . . σπαράττων.* Amyot: «En parlant mal de quelques choses qu'il avoit ordonnées du temps qu'il faisoit la guerre (en Asie). — *Δεδιῳκημένων* (avec redoublement irrégulier *δε-*, outre l'augment temporel *ῳ*), forme de la décadence.

5. *Ἐφ' οἷς . . . . ἀδοξῶν* est rendu, sans doute justement, par Amyot: «Dont tout le monde disoit que c'estoit très bien employé» (que c'était bien fait).

6. *Ἐκάκιζεν . . . προέμενος κτλ.* «Et luy se blasmoit grandement soymesme de ce qu'il avoit abandonné Cicéron.» (Amyot.)

7. *Παντοῖος . . . μετὰ τῶν φίλων,* «taschant par tous moyens avec ses amis de le faire rappeler.» (Amyot).

8. Joignez *μηδὲν πρᾶγμα δημόσιον*. Entendez *διὰ μέσου*: *qui se présenterait dans l'intervalle.*

9. Cicéron (*Pro Sestio*, XXXI, § 68): «*Omnia senatus rejiciebat, nisi de me primum consules rettulissent.*»

CHAPITRE XXXIV.

Χρόνον δ' οὐ πολὺν διαλιπὼν καὶ παραφυλάξας ἀποδημοῦντα τὸν Κλώδιον ἐπῆλθε μετὰ πολλῶν τῷ Καπιτωλίῳ, καὶ τὰς δημαρχικὰς δέλτους, ἐν οἷς ἀναγραφαὶ τῶν δεδιῳκημένων ἦσαν, ἀπέσπασε καὶ διέφθειρεν (1). Ἐγκαλοῦντος δὲ περὶ τούτων τοῦ Κλωδίου, τοῦ δὲ Κικέρωνος λέγοντος, ὡς παρανόμως ἐκ πατρικίων εἰς δημαρχίαν παρέλθοι(2), καὶ κύριον οὐδὲν εἴη τῶν πεπραγμένων ὑπ' αὐτοῦ, Κάτων ἠγανάκτησε καὶ ἀντεῖπε, τὸν μὲν Κλώδιον οὐκ ἐπαινῶν, ἀλλὰ καὶ δυσχεραίνων τοῖς πεπολιτευμένοις(3), δεινὸν δὲ καὶ βίαιον ἀποφαίνων ἀναίρεσιν ψηφίσασθαι δογμάτων καὶ πράξεων τοσούτων τὴν σύγκλητον, ἐν αἷς εἶναι(4) καὶ τὴν ἑαυτοῦ τῶν περὶ Κύπρον καὶ Βυζάντιον διοίκησιν(5). Ἐκ τούτου προσέκρουσεν ὁ Κικέρων αὐτῷ πρόσκρουσιν(6) εἰς οὐδὲν ἐμφανὲς προελθοῦσαν, ἀλλ' ὥστε τῇ φιλοφροσύνῃ χρῆσθαι πρὸς ἀλλήλους ἀμαυρότερον.

CHAPITRE XXXV.

Μετὰ ταῦτα Κλώδιον μὲν ἀποκτίννυσι Μίλων(1)· καὶ διωκό-

Ch. XXXIV.] 1. Les archives de l'État, du temps de Cicéron, étaient conservées dans un édifice appelé *Tabularium*, qui était bâti derrière le temple de la Concorde et de Saturne, sur le *clivus Capitolinus*. — Dion Cassius (XXXIX, § 21) dit seulement que Cicéron emporta chez lui les tablettes qui avaient trait à son bannissement, et non point qu'il détruisit toutes les tablettes relatives aux actes de Clodius pendant son tribunat.

2. « Clodius, originaire de la famille patricienne des Claudii, s'était fait adopter par le plébéien P. Fonteius, en vertu d'une *lex curiata* votée sur la proposition de César: de la sorte, devenu plébéien, il put se faire élire tribun (car le tribunat était une magistrature essentiellement plébéienne). C'est la légalité de cette adoption que contestait Cicéron: « *In illa adoptione legitime factum est nihil* » (au chap. XXIX, § 77, du *Pro domo sua*; cf. XIII, § 34).

3. *Τοῖς πεπολιτευμένοις*, l'administration *de Clodius*.

4. *Εἶναι* à l'infinitif, parce que ce n'est pas Plutarque qui fait remarquer que ces actes administratifs de Caton eussent été ainsi compris dans l'annulation, mais parce que Caton lui-même l'avait dit dans son discours au Sénat: *ἐν αἷς (ἔφη) εἶναι κτλ.*

5. En vertu d'une loi proposée par Clodius, Caton, alors questeur, était parti *cum jure praetorio* pour arranger plusieurs affaires en Orient. Effectivement, il avait fait vendre aux enchères les biens du roi de Chypre Ptolémée, et rapporté à Rome, dit-on, près de 33 millions de notre monnaie, produit de cette opération; et, à Byzance, il avait rétabli dans leur patrie les citoyens bannis à la suite de discordes civiles.

6. *Ἐκ τούτου ... πρόσκρουσιν*, il en résulta un froissement entre Cicéron et Caton.

Ch. XXXV.] 1. En janvier 52.

τοῦ σφόδρα φροντίσαι καὶ διαγρυπνῆσαι κακωθείς, ἐνδεέστερος αὑτοῦ φανῆναι(13).

Τότε δ' οὖν ἐπὶ τὴν τοῦ Μίλωνος δίκην ἐκ τοῦ φορείου προελθὼν καὶ θεασάμενος τὸν Πομπήϊον ἄνω καθεζόμενον ὥσπερ ἐν στρατοπέδῳ, καὶ κύκλῳ τὰ ὅπλα περιλάμποντα τὴν ἀγοράν, συνεχύθη καὶ μόλις ἐνήρξατο τοῦ λόγου, κραδαινόμενος τὸ σῶμα καὶ τὴν φωνὴν ἐπεχόμενος(14), αὐτοῦ τοῦ Μίλωνος εὐθαρσῶς καὶ ἀδεῶς παρισταμένου τῷ ἀγῶνι καὶ κόμην θρέψαι καὶ μεταβαλεῖν ἐσθῆτα φαιὰν ἀπαξιώσαντος(15)· ὅπερ οὐχ ἥκιστα δοκεῖ συναίτιον αὐτῷ γενέσθαι τῆς καταδίκης(16). Ἀλλ' ὅ γε Κικέρων διὰ ταῦτα φιλέταιρος μᾶλλον ἢ δειλὸς ἔδοξεν εἶναι(17).

CHAPITRE XXXVI.

Γίνεται δὲ καὶ τῶν ἱερέων, οὓς αὔγουρας(1) Ῥωμαῖοι καλοῦσιν, ἀντὶ Κράσσου τοῦ νέου, μετὰ τὴν ἐν Πάρθοις αὐτοῦ τελευτήν. Εἶτα κλήρῳ λαχὼν τῶν ἐπαρχιῶν Κιλικίαν καὶ στρατὸν ὁπλιτῶν μυρίων καὶ δισχιλίων, ἱππέων δὲ χιλίων ἑξακοσίων, ἔπλευσε, προσταχθὲν αὐτῷ(2) καὶ τὰ περὶ Καππαδοκίαν Ἀριοβαρζάνῃ τῷ βασιλεῖ φίλα καὶ πειθήνια παρασχεῖν. Ταῦτα δὴ παρεστήσατο καὶ συνήρμοσεν ἀμέμπτως ἄνευ πολέμου, τούς τε Κίλικας ὁρῶν πρὸς(3) τὸ Παρθικὸν πταῖσμα Ῥωμαίων καὶ τὸν ἐν Συρίᾳ νεωτερισμὸν ἐπηρμένους, κατεπράϋνεν ἡμέρως ἄρχων. Καὶ δῶρα μὲν οὐδὲ τῶν βασιλέων διδόντων ἔλαβε, δείπνων δὲ τοὺς ἐπαρχικοὺς ἀνῆκεν(4)· αὐτὸς δὲ τοὺς χαρίεντας(5) ἀνελάμβανε καθ' ἡμέραν

---

13. Se trouvant las d'avoir trop pensé et mal dormi, il parut ce jour-là rester au-dessous de lui-même.

14. Même expression dans la *Vie de Brutus* (chap. xv): Ἥ τε χρόα μεταβολὴν ἐλάμβανε, καὶ τὴν φωνὴν ἐπέσχητο παντάπασιν (ἡ Πορκία).

15. Voy. la note 6 du chap. IX. — Μεταβαλεῖν reçoit ici le même sens que διήλλαξεν (voy. la note 6 du chap. XIX).

16. On sait que le plaidoyer *Pro Milone* que publia Cicéron, et qui nous a été conservé, est une œuvre composée à loisir après le procès.

17. Ἀλλ' ὅ γε Κικέρων διὰ ταῦτα φιλέταιρος κτλ. Cette réflexion est assez mal reliée au récit qui précède.

Ch. XXXVI.] 1. En latin: *augures*.

2. Προσταχθὲν αὐτῷ, nominatif absolu, revenant pour le sens à: *ayant pour instructions de . . .*

3. Πρὸς, à la suite de, en raison de. — Τὸ Παρθικὸν πταῖσμα, c'est le désastre de Crassus dans le pays des Parthes.

4. Amyot: « Et il ne receut jamais present quelconque que lon luy envoyast, non pas des princes ny des roys mesmes, et si deschargea (ἀνῆκεν = ἀφῆκεν) ceulx de sa province des banquets et festins qu'ilz avoient accoustumé de faire aux autres gouverneurs avant luy. »

ἑστιάσεσιν οὐ πολυτελῶς, ἀλλ' ἐλευθερίως. Ἡ δ' οἰκία (6) θυρωρὸν οὐκ εἶχεν, οὐδ' αὐτὸς ὤφθη κατακείμενος ὑπ' οὐδενός, ἀλλ' ἕωθεν ἑστὼς ἢ περιπατῶν πρὸ τοῦ δωματίου, τοὺς ἀσπαζομένους ἐδεξιοῦτο. Λέγεται δὲ μήτε ῥάβδοις αἰκίσασθαί τινα μήτ' ἐσθῆτα περισχίσαι μήτε βλασφημίαν ὑπ' ὀργῆς ἢ ζημίαν προσβαλεῖν μεθ' ὕβρεως. Ἀνευρὼν δὲ πάμπολλα τῶν δημοσίων κεκλεμμένα, τάς τε πόλεις . . . . εὐπόρους ἐποίησε, καὶ τοὺς ἀποτίνοντας οὐδὲν πλέον τούτου παθόντας ἐπιτίμους διεφύλαξεν (7).

Ἥψατο δὲ καὶ πολέμου, λῃστὰς τῶν περὶ τὸν Ἀμανὸν οἰκούντων τρεψάμενος· ἐφ' ᾧ καὶ αὐτοκράτωρ (8) ὑπὸ τῶν στρατιωτῶν ἀνηγορεύθη. Καιλίου δὲ τοῦ ῥήτορος (9) δεομένου παρδάλεις αὐτῷ πρός τινα θέαν εἰς Ῥώμην ἐκ Κιλικίας ἀποστεῖλαι, καλλωπιζόμενος ἐπὶ τοῖς πεπραγμένοις γράφει πρὸς αὐτὸν οὐκ εἶναι παρδάλεις ἐν Κιλικίᾳ· πεφευγέναι γὰρ εἰς Καρίαν ἀγανακτούσας, ὅτι μόναι πολεμοῦνται, πάντων εἰρήνην ἐχόντων (10).

Πλέων δ' ἀπὸ τῆς ἐπαρχίας, τοῦτο μὲν Ῥόδῳ προσέσχε, τοῦτο δ' Ἀθήναις ἐνδιέτριψεν ἄσμενος πόθῳ τῶν πάλαι διατριβῶν. Ἀνδράσι δὲ τοῖς πρώτοις ἀπὸ παιδείας συγγενόμενος, καὶ τούς τε φίλους καὶ συνήθεις ἀσπασάμενος, καὶ τὰ πρέποντα (11) θαυμασθεὶς ὑπὸ τῆς Ἑλλάδος, εἰς Ῥώμην ἐπανῆλθεν (12), ἤδη τῶν

---

5. *Χαρίεντας*. Les personnes de « la société », celles qui ne sont pas du commun. Cf. *Vie de Démosthène*, note 9, p. 336.

6. Cicéron écrit à Atticus (VI, II, 5): « *Cetera jurisdictio nec imperita et clemens cum admirabili facilitate; aditus autem ad me minime provinciales: nihil per cubicularium; ante lucem inambulabam domi, ut olim candidatus.* »

7. Cicéron à Atticus (VI, II, 5): « *Mira erant in civitatibus ipsorum furta Graecorum, quae magistratus sui fecerant. Quaesivi ipse de iis qui annis decem proximis magistratum gesserant; aperte fatebantur: itaque sine ulla ignominia suis humeris pecunias populis rettulerunt.* » — Dans la phrase de Plutarque, il semble bien que plusieurs mots sont tombés: « Quum invenisset multos peculatus per provinciam factos, quum ⟨iis quae surrepta erant⟩ urbes ditavit, tum iis qui ablata redderent, nullo praeterea supplicio affectis, integram famam conservavit. » (Traduction Hutten.)

8. *Αὐτοκράτωρ*, en latin « *imperator* ».

9. M. Caelius Rufus, jeune ami de Cicéron, et lui aussi grand orateur. M. Boissier lui a consacré un chapitre entier (*Caelius: la jeunesse romaine au temps de César*) dans le livre de *Cicéron et ses amis*.

10. Voyez la onzieme lettre du deuxième livre de Cicéron *ad familiares*, datée et adressée ainsi: « *Scr. in provincia pridie Nonas Apriles a. U. C.* 704. M. CICERO IMP. S. D. M. CAELIO AEDILI CUR. », dont voici le passage traduit par Plutarque: « *De pantheris, per eos qui venari solent agitur mandatu meo diligenter; sed mira paucitas est, et eas quae sunt valde aiunt pueri, quod nihil cuiquam insidiarum in mea provincia, nisi sibi, fiat: itaque constituisse dicuntur in Cariam ex nostra provincia decedere.* »

11. *Τὰ πρέποντα*. « Expression adverbiale: comme il convenait, comme il le méritait. »

πραγμάτων ὥσπερ ὑπὸ φλεγμονῆς ἀφισταμένων ἐπὶ τὸν ἐμφύλιον πόλεμον(13).

CHAPITRE XXXVII.

Ἐν μὲν οὖν τῇ βουλῇ ψηφιζομένων(1) *αὐτῷ θρίαμβον, ἥδιον ἂν ἔφη παρακολουθῆσαι Καίσαρι θριαμβεύοντι συμβάσεων γενομένων*(2)*· ἰδίᾳ δὲ συνεβούλευσε πολλὰ μὲν Καίσαρι γράφων, πολλὰ δ' αὐτοῦ*(3) *Πομπηΐου δεόμενος, πραΰνων ἑκάτερον καὶ παραμυθούμενος. Ὡς δ' ἦν ἀνήκεστα*(4)*, καί, Καίσαρος ἐπερχομένου, Πομπήϊος οὐκ ἔμεινεν, ἀλλὰ μετὰ πολλῶν καὶ ἀγαθῶν ἀνδρῶν τὴν πόλιν ἐξέλιπε, ταύτης μὲν ἀπελείφθη τῆς φυγῆς ὁ Κικέρων, ἔδοξε δὲ Καίσαρι προστίθεσθαι*(5)*. Καὶ δῆλός ἐστι τῇ γνώμῃ πολλὰ ῥιπτασθεὶς ἐπ' ἀμφότερα καὶ διστάσας*(6)*. Γράφει γὰρ ἐν ταῖς Ἐπιστολαῖς διαπορεῖν, ποτέρωσε χρὴ τραπέσθαι, · Πομπηΐου μὲν ἔνδοξον καὶ καλὴν ὑπόθεσιν πρὸς τὸ πολεμεῖν ἔχοντος, Καίσαρος δ' ἄμεινον τοῖς πράγμασι χρωμένου καὶ μᾶλλον ἑαυτὸν καὶ τοὺς φίλους σώζοντος, ὥστ' ἔχειν μὲν ὃν φύγῃ, μὴ ἔχειν δὲ πρὸς*

---

12. *Εἰς Ῥώμην ἐπανῆλθεν*, le 4 janvier 49.

13. Cicéron (*Ad familiar.*, XVI, xi, 2): «*Sed incidi in ipsam flammam civilis discordiae vel potius belli, cui cum cuperem mederi,*» etc. Plutarque semble avoir compris *flammam* comme s'il y avait *inflammationem*, une tumeur. Coraï, qui fut à la fois helléniste et médecin, explique en ces termes la métaphore ici employée: *Ἡ δὲ μεταφορὰ ἀπὸ τῆς ἰατρικῆς τέχνης· καθ' ἣν τὰ φλεγμήναντα μέρη ἀφίσταται, τουτέστιν ἀνεγείρεται τῆς ἐπιφανείας τοῦ σώματος, καὶ ὄγκους ποιεῖ τοὺς καλουμένους διὰ τοῦτο ἀποστήματα.*

Ch. XXXVII.] 1. *Ψηφιζομένων*, sous-entendu *τῶν βουλευτῶν*, dont l'idée est éveillée par *ἐν τῇ βουλῇ*.

2. *Συμβάσεων γενομένων.* Amyot: «Que plus vouluntiers il suivroit le chariot triumphant de Cæsar, *y ayant un bon accord fait entre eulx,*» c'est-à-dire entre César et Pompée.

3. *Αὐτοῦ*, c'est-à-dire en lui parlant à lui-même (puisque Pompée, lui, était à Rome).

4. Amyot paraphrase ainsi *ὡς δ' ἦν ἀνήκεστα*: «Mais le mal estant si incurable qu'il n'y avoit plus ordre ne moyen de les pouvoir accorder.»

5. Le vrai est que Cicéron ne se trouvait pas alors à Rome, mais en Campanie, région qui lui était échue lorsqu'on avait fait, à l'approche de César, le partage des diverses parties de l'Italie pour les défendre contre lui.

6. *Διστάσας*. Cicéron (*Ad famil.*, VII, iii, 1): «*Quo tempore vidisti profecto, me quoque ita conturbatum ut non explicarem quid esset optumum factu.*»

ὃν φύγῃ(7). Τρεβατίου δέ, τινὸς τῶν Καίσαρος ἑταίρων, γράψαντος ἐπιστολήν, ὅτι(8) Καῖσαρ οἴεται δεῖν μάλιστα μὲν αὐτὸν ἐξετάζεσθαι(9) μεθ' αὐτοῦ καὶ τῶν ἐλπίδων μετέχειν, εἰ δ' ἀναδύεται διὰ γῆρας, εἰς τὴν Ἑλλάδα βαδίζειν κἀκεῖ καθήμενον ἡσυχίαν ἄγειν ἐκποδὼν ἀμφοτέροις γενόμενον, θαυμάσας ὁ Κικέρων ὅτι Καῖσαρ αὐτὸς οὐκ ἔγραψεν, ἀπεκρίνατο πρὸς ὀργὴν ὡς οὐδὲν ἀνάξιον πράξει τῶν πεπολιτευμένων. Τὰ μὲν οὖν ἐν ταῖς Ἐπιστολαῖς γεγραμμένα τοιαῦτά ἐστι(10).

CHAPITRE XXXVIII.

Τοῦ δὲ Καίσαρος εἰς Ἰβηρίαν ἀπάραντος(1), εὐθὺς πρὸς Πομπήϊον ἔπλευσε· καὶ τοῖς μὲν ἄλλοις ἀσμένοις ὤφθη, Κάτων δ' αὐτὸν ἰδίᾳ πολλὰ κατεμέμψατο Πομπηΐῳ προσθέμενον· αὐτῷ(2) μὲν γὰρ οὐ καλῶς ἔχειν ἐγκαταλιπεῖν ἣν ἀπ' ἀρχῆς εἵλετο τῆς πολιτείας τάξιν, ἐκεῖνον δὲ χρησιμώτερον ὄντα(3) τῇ πατρίδι καὶ τοῖς φίλοις, εἰ μένων ἴσος ἐκεῖ(4) πρὸς τὸ ἀποβαῖνον ἡρμόζετο, κατ' οὐδένα λογισμὸν οὐδ' ἐξ ἀνάγκης πολέμιον γεγονέναι Καίσαρι καὶ τοσούτου μεθέξοντα κινδύνου δεῦρ' ἥκειν. Οὗτοι δὲ

---

7. *Ἔχειν κτλ.* «*Ego vero quem fugiam habeo, quem sequar non habeo.*» (Cicér., *Ad Attic.*, VIII, vii, 2.)

8. *Ὅτι, lui disant* que.

9. *Ἐξετάζεσθαι μεθ' αὐτοῦ*, se ranger avec lui.

10. La correspondance de Cicéron avec C. Trebatius Testa, le célèbre jurisconsulte, remplit le VIIe livre des *Lettres familières*; mais, telle qu'elle nous a été conservée, on n'y trouve point ce que dit ici Plutarque. On trouve seulement quelque chose d'approchant, savoir ce qui suit dans la xviie lettre du VIIe livre de Cicéron à Atticus: «*Trebatius quidem scribit se ab illo IX Kal. Febr. rogatum esse ut scriberet ad me, ut essem ad urbem; nihil ei me gratius facere posse . . . Rescripsi ad Trebatium (nam ad ipsum Caesarem, qui mihi nihil scripsisset, nolui), quam illud hoc tempore esset difficile, me tamen in praediis meis esse neque delectum ullum neque negotium suscepisse.*» — D'autre part nous avons encore (*ad Attic.*, X, viii b) le texte d'une lettre écrite par César lui-même à Cicéron, à la date du 15 des calendes de mai, *ex itinere*, lettre dans laquelle il l'engage à rester neutre, *abesse a civilibus controversiis*, comme il convient *viro bono et quieto et bono civi.*

Ch. XXXVIII.] 1. *Ἀπάραντος*, vers le milieu d'avril 49. Cicéron partit vers le 10 juin pour la Grèce, où se trouvait alors Pompée.

2. *Αὐτῷ*, à lui-même, lui, Caton. *Ἐκεῖνον*, Cicéron.

3. *Ὄντα*, et plus haut *ἔχειν*, répondent à l'imparfait du discours direct; d'où le sens de «Il n'*eût* pas *été* honnête de la part de Caton» et «Cicéron *eût été* plus utile.»

4. *Ἐκεῖ*, à Rome.

τοῦ Κικέρωνος ἀνέστρεφον οἱ λόγοι τὴν γνώμην(5), καὶ τὸ μέγα μηδὲν αὐτῷ χρῆσθαι Πομπήϊον(6). Αἴτιος δ' ἦν αὐτὸς οὐκ ἀρνούμενος μεταμέλεσθαι(7), φλαυρίζων δὲ τοῦ Πομπηΐου τὴν παρασκευὴν καὶ πρὸς τὰ βουλεύματα δυσχεραίνων ὑπούλως, καὶ τοῦ παρασκώπτειν τι καὶ λέγειν ἀεὶ χαρίεν εἰς τοὺς συμμάχους οὐκ ἀπεχόμενος(8), ἀλλ' αὐτὸς μὲν ἀγέλαστος ἀεὶ περιϊὼν ἐν τῷ στρατοπέδῳ καὶ σκυθρωπός(9), ἑτέροις δὲ παρέχων γέλωτα μηδὲν δεομένοις. Βέλτιον δὲ καὶ τούτων ὀλίγα παραθέσθαι.

Δομιτίου(10) τοίνυν ἄνθρωπον εἰς τάξιν ἡγεμονικὴν ἄγοντος οὐ πολεμικὸν καὶ λέγοντος ὡς ἐπιεικὴς τὸν τρόπον ἐστὶ καὶ σώφρων, « Τί οὖν» εἶπεν « οὐκ ἐπίτροπον αὐτὸν τοις τέκνοις φυλάσσεις; »

Ἐπαινούντων δέ τινων Θεοφάνην τὸν Λέσβιον(11), ὃς ἦν ἐν τῷ στρατοπέδῳ τεκτόνων ἔπαρχος(12), ὡς εὖ παραμυθήσαιτο Ῥοδίους τὸν στόλον ἀποβαλόντας(13), « Ἡλίκον» εἶπεν « ἀγαθόν ἐστι Γραικὸν ἔχειν ἔπαρχον. »

Καίσαρος δὲ κατορθοῦντος τὰ πλεῖστα καὶ τρόπον (13) τινὰ πολιορκοῦντος αὐτούς, Λέντλῳ(14) μὲν εἰπόντι πυνθάνεσθαι στυγνοὺς εἶναι τοὺς Καίσαρος φίλους, ἀπεκρίνατο « Λέγεις αὐτοὺς δυσνοεῖν Καίσαρι(15); »

Μαρκίου δέ τινος ἥκοντος ἐξ Ἰταλίας νεωστὶ καὶ λέγοντος ἐν

---

5. Construisez τὴν γνώμην τοῦ Κικέρωνος.

6. Καὶ τὸ μέγα .... Πομπήϊον. Amyot: « Avec ce que Pompeius ne se servoit de luy en nulle chose de consequence. »

7. Μεταμέλεσθαι. Cicéron (*Ad familiar.*, VII, III, 2): « *Cujus me mei facti poenituit, non tam propter periculum meum quam propter vitia multa quae ibi offendi, quo veneram ... Nihil boni praeter causam.* » Le mot suivant de lui a été conservé chez Macrobe (*Saturnales*, II, III, 7): « Cum ad Pompeium venisset, dicentibus sero eum venisse respondit: *Minime sero veni, nam nihil hic paratum video.* »

8. Καὶ τοῦ παρασκώπτειν ... οὐκ ἀπεχόμενος. Amyot: « Et si ne se pouvoit pas tenir de laisser eschapper tousjours quelque mot de risée et de mocquerie encontre ceulx de son party. »

9. Cicéron (*IIe Philippique*, XVI, § 39—40): « *Ne jocis quidem respondebo, quibus me in castris usum esse dixisti ... Quod autem idem maestitiam meam reprehendit, idem jocum, magno argumento est me in utroque fuisse moderatum.* »

10. « L. Domitius Ænobarbus, que César avait assiégé dans la ville de Corfinium et qu'il avait laissé libre après la prise de cette place. »

11. Théophane de Mytilène, historien ami de Pompée (voy., sur lui, Cicéron, *Pro Archia*, X, § 24).

12. Τεκτόνων ἔπαρχος. Voy. la fin de la note 7 du ch. XXXII.

13. « Une tempête avait détruit les navires des Rhodiens, envoyés par ordre de Pompée contre César, pour protéger Dyrrachium. »

14. L. Cornelius Lentulus Crus, consul de cette année.

15. Où est le piquant de ce mot? Wyttenbach croit qu'il faut lire σύννους et συννοεῖν.

Ῥώμῃ φήμην ἐπικρατεῖν ὡς πολιορκοῖτο Πομπήϊος, «Εἶτ' ξέπλευσας» εἶπεν «ἵνα τοῦτο πιστεύσῃς αὐτὸς θεασάμενος;»

Μετὰ δὲ τὴν ἧτταν(16), Νοννίου μὲν εἰπόντος ὅτι δεῖ χρησ ὰς ἐλπίδας ἔχειν, ἑπτὰ γὰρ ἀετοὺς ἐν τῷ στρατοπέδῳ τοῦ Πομπη ου λελεῖφθαι, «Καλῶς ἂν» ἔφη «παρῄνεις, εἰ κολοιοῖς ἐπο μοῦμεν.»

Λαβιηνοῦ δὲ μαντείαις τισὶν ἰσχυριζομένου καὶ λέγοντος ὡς δεῖ περιγενέσθαι Πομπήϊον, «Οὐκοῦν» ἔφη «στρατηγήματι τοι τῳ χρώμενοι, νῦν ἀποβεβλήκαμεν τὸ στρατόπεδον(17).»

CHAPITRE XXXIX.

Ἀλλὰ γὰρ γενομένης τῆς κατὰ Φάρσαλον μάχης(1), ἧς οὐ μετέσχε δι' ἀρρωστίαν, καὶ Πομπηΐου φυγόντος, ὁ μὲν Κάτων, καὶ στράτευμα συχνὸν ἐν Δυρραχίῳ καὶ στόλον ἔχων μέγαν, ἐκεῖνον(2) ἠξίου στρατηγεῖν κατὰ νόμον ὡς τῷ τῆς ὑπατείας ἀξιώματι προὔχοντα. Διωθούμενος δὲ τὴν ἀρχὴν ὁ Κικέρων καὶ ὅλως φεύγων τὸ συστρατεύεσθαι, παρ' οὐδὲν ἦλθεν ἀναιρεθῆναι(3), Πομπηΐου τοῦ νέου(4) καὶ τῶν φίλων προδότην ἀποκαλούντων καὶ τὰ ξίφη σπασαμένων, εἰ μὴ Κάτων ἐνστὰς(5) μόλις ἀφείλετο καὶ διῆκεν αὐτὸν ἐκ τοῦ στρατοπέδου.

Καταχθεὶς δ' εἰς Βρεντέσιον ἐνταῦθα διέτριβε, Καίσαρα προσμένων βραδύνοντα διὰ τὰς ἐν Ἀσίᾳ καὶ περὶ Αἴγυπτον ἀσχολίας. Ἐπεὶ δ' εἰς Τάραντα καθωρμισμένος ἀπηγγέλλετο καὶ πεζῇ περιϊὼν ἐκεῖθεν εἰς Βρεντέσιον, ὥρμησε πρὸς αὐτόν, οὐ πάνυ μὲν ὢν δύσελπις, αἰδούμενος δὲ πολλῶν παρόντων ἀνδρὸς ἐχθροῦ καὶ κρατοῦντος λαμβάνειν πεῖραν. Οὐ μὴν ἐδέησεν αὐτῷ πρᾶξαί τι παρ' ἀξίαν ἢ εἰπεῖν(6). Ὁ γὰρ Καῖσαρ, ὡς εἶδεν αὐτὸν πολὺ πρὸ

---

16. *Ἧτταν*, la défaite de Pharsale.

17. Il s'agit sans doute de quelque défaite antérieure, — ou bien ce récit manquerait d'authenticité. Car, d'une part, Cicéron n'assista pas à bataille de Pharsale, comme Plutarque va le dire, et, d'autre part, Labienus y périt.

Ch. XXXIX.] 1. Le 9 août 48.

2. *Ἐκεῖνον*, Cicéron.

3. On dirait à peu près de même en français : Il ne tint à rien qu'il ne pérît.

4. Cn. Pompée, le fils aîné du grand Pompée.

5. *Ἐνστάς*. Voy. la note 13 du ch. XXI.

6. Amyot : «Toutefois il ne fut point contrainct (*οὐκ ἐδέησεν αὐτῷ*) de faire ne de dire chose aucune derogante à sa dignité (*παρ' ἀξίαν*).»

τῶν ἄλλων ἀπαντῶντα, κατέβη(7) καὶ ἠσπάσατο καὶ διαλεγό μόνῳ συχνῶν σταδίων ὁδὸν προῆλθεν.

Ἐκ δὲ τούτου διετέλει τιμῶν καὶ φιλοφρονούμενος, ὥστε γράψαντι λόγον ἐγκώμιον(8) Κάτωνος ἀντιγράφων τόν τε λ αὐτοῦ(9) καὶ τὸν βίον ὡς μάλιστα τῷ Περικλέους ἐοικότ καὶ Θηραμένους ἐπαινεῖν. Ὁ μὲν οὖν Κικέρωνος λόγος Κά ὁ δὲ Καίσαρος Ἀντικάτων ἐπιγέγραπται.

Λέγεται δὲ καί, Κοΐντου Λιγαρίου δίκην φεύγοντος, ὅτι Καίσαρος πολεμίων εἷς ἐγεγόνει, καὶ Κικέρωνος αὐτῷ βοη τος(11), εἰπεῖν τὸν Καίσαρα πρὸς τοὺς φίλους· «Τί κωλύε χρόνου(12) Κικέρωνος ἀκοῦσαι λέγοντος, ἐπεὶ πάλαι γε κέκ πονηρὸς ἄνθρωπος(13) καὶ πολέμιος;» Ἐπεὶ δ' ἀρξάμενος λ ὁ Κικέρων ὑπερφυῶς ἐκίνει(14), καὶ προὔβαινεν αὐτῷ πάθ ποικίλος καὶ χάριτι θαυμαστὸς ὁ λόγος, πολλὰς μὲν ἱέναι(15) χ ἐπὶ τοῦ προσώπου τὸν Καίσαρα, πάσας δὲ τῆς ψυχῆς τρεπ νον τροπὰς κατάδηλον εἶναι· τέλος δέ, τῶν κατὰ Φάρς ἁψαμένου τοῦ ῥήτορος ἀγώνων(16), ἐκπαθῆ γενόμενον τιναχ τῷ σώματι καὶ τῆς χειρὸς ἐκβαλεῖν(17) ἔνια τῶν γραμματ Τὸν δ' οὖν ἄνθρωπον ἀπέλυσε τῆς αἰτίας βεβιασμένος.

CHAPITRE XL.

Ἐκ τούτου Κικέρων, εἰς μοναρχίαν τῆς πολιτείας μεθεστ

---

7. *Κατέβη*, descendit de cheval.

8. *Λόγος ἐγκώμιος*, éloge. *Λόγος* ici, et de même deux lignes plu veut dire *livre, ouvrage*.

9. *Τὸν λόγον αὐτοῦ*, l'*éloquence* de Cicéron.

10. *Ἐοικότα* se rapporte, grammaticalement, à *τὸν βίον* seulement; il faut l'entendre comme s'il y avait *ἐοικότας*, se rapportant et à τό ... et à *τὸν βίον*. — César comparait sans doute la vie de Cicéron à ... de Théramène, son éloquence à celle de Périclès.

11. «Théramène, du temps des trente tyrans à Athènes, était un ... d'Etat de grand mérite, mais taxé de versatilité politique et surn... pour cela, par les Athéniens, *κόθορνος*, cothurne, chaussure qu'on ... tait indifféremment au pied droit ou au pied gauche. Comme on l... aisément, la comparaison n'était pas sans malice.»

12. *Διὰ χρόνου*, «(Cicéron) qu'il y a longtemps que nous n'ouys... (Amyot.)

13. *Ἄνθρωπος* (= ὁ ἄνθρωπος), Ligarius.

14. *Ὑπερφυῶς ἐκίνει*, entendez *τὸν Καίσαρα*.

15. *Ἱέναι* (non *ἰέναι*), de *ἵημι* (non de *εἶμι*).

16. Voy., en effet, dans les œuvres de Cicéron, le discours *Pro Li*... IX, § 28, non loin de la fin du plaidoyer.

17. *Ἐκβάλλειν*, laisser tomber.

ἀφέμενος τοῦ τὰ κοινὰ πράττειν, ἐσχόλαζε τοῖς βουλομένοις φιλοσοφεῖν τῶν νέων, καὶ σχεδὸν ἐκ τῆς πρὸς τούτους συνηθείας, εὐγενεστάτους καὶ πρώτους ὄντας, αὖθις ἴσχυσεν ἐν τῇ πόλει μέγιστον.

Αὐτῷ δ' ἔργον μὲν ἦν τότε φιλοσόφους συντελεῖν διαλόγους(1) καὶ μεταφράζειν τοὺς Πλάτωνος (2), καὶ τῶν διαλεκτικῶν ἢ φυσικῶν ὀνομάτων ἕκαστον εἰς τὴν Ῥωμαϊκὴν μεταβάλλειν διάλεκτον· ἐκεῖνος γάρ ἐστιν, ὥς φασιν, ὁ καὶ τὴν φαντασίαν καὶ τὴν ἐποχὴν καὶ τὴν συγκατάθεσιν καὶ τὴν κατάληψιν, ἔτι δὲ τὴν ἄτομον, τὸ κενόν(3), καὶ ἄλλα πολλὰ τῶν τοιούτων ἐξονομάσας πρῶτος ἢ μάλιστα Ῥωμαίοις, τὰ μὲν μεταφοραῖς, τὰ δ' οἰκειότησιν ἄλλαις(4) γνώριμα καὶ προσήγορα μηχανησάμενος (5).

Τῇ δὲ πρὸς τὴν ποίησιν εὐκολίᾳ παίζων ἐχρῆτο. Λέγεται γὰρ ὁπηνίκα ῥυείη πρὸς τὸ τοιοῦτον, τῆς νυκτὸς ἔπη ποιεῖν πεντακόσια.

Τὸν μὲν οὖν πλεῖστον(6) τοῦ χρόνου τούτου περὶ Τοῦσκλον ἐν χωρίοις αὐτοῦ(7) διάγων, ἔγραφε πρὸς τοὺς φίλους Λαέρτου βίον ζῆν(8), εἴτε παίζων, ὡς ἔθος εἶχεν, εἴθ' ὑπὸ φιλοτιμίας σπαργῶν πρὸς τὴν πολιτείαν καὶ ἀδημονῶν τοῖς καθεστῶσι.

Ch. XL.] 1. Les *Académiques* et le *De finibus bonorum et malorum*, par exemple, sont de cette période de la vie de Cicéron. — *Συντελεῖν* ne peut se traduire ici que par *composer*, ce qui n'est pas le sens ordinaire de ce mot.

2. Notamment le *Timée*. Voy., dans les Fragments de Cicéron, les pages qui nous restent de cette traduction, qui a été faite postérieurement à la composition des *Académiques*. Cicéron avait aussi traduit le *Protagoras*; il reste huit ou dix lignes de ce travail, citées par des grammairiens.

3. Il a rendu *φαντασία* par *visum*, *ἐποχή* par *assensionis retentio*, *συγκατάθεσις* par *assensio atque approbatio*, *κατάληψις* par *comprehensio*, *τὰς ἀτόμους* et *τὰ ἀμερῆ* par *corpora individua*, *τὸ κενόν* par *inane*.

4. *Ἡ οἰκειότησιν ἄλλαις*. Hellénisme qui revient à ceci: *ou, autrement, par des termes propres*. Les mots suivants se traduisent mot à mot: *arrangeant les mots* (*μηχανησάμενος*) *reconnaissables* (*γνώριμα*) *et bien reçus* (*προσήγορα*). C'est-à dire: soit en se servant de métaphores, soit en prenant des termes au propre, trouvant pour ces mots grecs des équivalents qui se laissassent entendre et se fissent accepter.

5. Ch. Thurot (*Revue de philologie*, 1877, p. 86): « On sait que les ouvrages de Cicéron sur la rhétorique et la philosophie sont souvent difficiles à entendre, parce que Cicéron a rendu des termes techniques, qui avaient un sens rigoureusement défini chez les rhéteurs et les philosophes grecs, par des équivalents qu'il a tirés du langage ordinaire des Latins, et qui paraissent fort vagues, si l'on ne se reporte pas aux mots grecs qu'il a voulu traduire. »

6. *Τὸν πλεῖστον τοῦ χρόνου*, la plupart du temps.

7. Dans sa propriété de Tusculum (à 5 lieues de Rome).

8. *Λαέρτου βίον ζῆν*. Laërte, père d'Ulysse, vivait dans les champs, loin du palais, qui était livré aux prétendants de Pénélope. Lisez le chant XXIV de l'*Odyssée*, vers 205 et suivants.

Σπάνιον δ' εἰς ἄστυ, θεραπείας ἕνεκα τοῦ Καίσαρος, κατῄει(9), *καὶ πρῶτος ἦν τῶν συναγορευόντων ταῖς τιμαῖς*(10) *καὶ λέγειν ἀεί τι καινὸν εἰς τὸν ἄνδρα καὶ τὰ πραττόμενα φιλοτιμουμένων. Οἷόν ἐστι καὶ τὸ περὶ τῶν Πομπηΐου λεχθὲν εἰκόνων, ἃς ἀνῃρημένας καὶ καταβεβλημένας ὁ Καῖσαρ ἐκέλευσεν ἀνασταθῆναι. Ἔφη γὰρ ὁ Κικέρων ὅτι ταύτῃ τῇ φιλανθρωπίᾳ Καῖσαρ τοὺς μὲν Πομπηΐου ἵστησι, τοὺς δ' αὐτοῦ πήγνυσιν ἀνδριάντας.*

CHAPITRE XLI.

Διανοούμενος δ', ὡς λέγεται, τὴν πάτριον ἱστορίαν γραφῇ περιλαβεῖν καὶ πολλὰ συμμῖξαι τῶν Ἑλληνικῶν καὶ ὅλως τοὺς συνηγμένους λόγους αὐτῷ καὶ μύθους ἐνταῦθα τρέψαι(1), *πολλοῖς μὲν ἰδίοις, πολλοῖς δὲ δημοσίοις κατελήφθη πράγμασιν ἀβουλήτοις καὶ πάθεσιν, ὧν αὐθαίρετα δοκεῖ τὰ πλεῖστα συμβῆναι. Πρῶτον μὲν γὰρ ἀπεπέμψατο τὴν γυναῖκα Τερεντίαν, ἀμεληθεὶς ὑπ' αὐτῆς παρὰ τὸν πόλεμον, ὥστε καὶ τῶν ἀναγκαίων ἐφοδίων ἐνδεὴς ἀποσταλῆναι καὶ μηδ', ὅτε κατῆρεν αὖθις εἰς Ἰταλίαν, τυχεῖν εὐγνώμονος. Αὐτὴ μὲν γὰρ οὐκ ἦλθεν, ἐν Βρεντεσίῳ διατρίβοντος αὐτοῦ πολὺν χρόνον*(2), *ἐρχομένῃ δὲ τῇ θυγατρί, παιδίσκῃ νέᾳ*(3), *τοσαύτην ὁδὸν οὐ πομπὴν πρέπουσαν*(4), *οὐ χορηγίαν παρέσχεν, ἀλλὰ καὶ τὴν οἰκίαν τῷ Κικέρωνι πάντων ἔρημον καὶ κενὴν ἀπέ-*

---

9. Tusculum était bâti sur une colline: la villa de Cicéron était située à mi-côte.

10. *Ταῖς τιμαῖς*, les honneurs (qui étaient décernés à César).

Ch. XLI.] 1. Cicéron fait allusion, au début de son traité *De Legibus*, à ce projet d'écrire l'histoire romaine; mais ce qu'on lit en cet endroit ne s'accorde guère avec l'intention que lui attribue ici Plutarque d'entremêler son récit d'anecdotes et de légendes de toutes sortes. « *Intelligo te, frater, alias in historia leges observandas putare, alias in poëmate* (dit Quintus). — *Quippe quum in illa ad veritatem cuncta referantur, in hoc ad delectationem pleraque* (répond Cicéron). *Quanquam et apud Herodotum patrem historiae, et apud Theopompum sunt innumerabiles fabulae.* » Ces derniers mots auraient-ils été mal compris?

2. *Διατρίβοντος . . . χρόνον.* Ces mots prouvent qu'il s'agit du troisième débarquement de Cicéron à Brindes, c'est-à-dire après Pharsale.

3. *Παιδίσκῃ νέᾳ.* Tullia n'était plus alors (voy. la note précédente) une si jeune enfant que Plutarque veut bien dire, puisqu'elle était déjà veuve d'un premier mari, divorcée d'un second, et remariée en troisièmes noces avec P. Cornelius Lentulus Dolabella. — Tullia était aussi venue au-devant de son père à Brindes, lorsque celui-ci arrivait d'exil. Cette fois-là, il n'avait point séjourné à Brindes. Tullia alors venait de perdre son premier mari; elle avait dix-neuf ans.

4. *Πρέπουσαν* tombe sur *χορηγίαν* aussi bien que sur *πομπήν*.

δειξεν ἐπὶ πολλοῖς ὀφλήμασι καὶ μεγάλοις(5). Αὗται γάρ εἰσιν αἱ λεγόμεναι τῆς διαστάσεως εὐπρεπέσταται προφάσεις.

Τῇ δὲ Τερεντίᾳ καὶ ταύτας ἀρνουμένῃ λαμπρὰν ἐποίησε τὴν ἀπολογίαν αὐτὸς ἐκεῖνος μετ' οὐ πολὺν χρόνον γήμας παρθένον(6), ὡς μὲν ἡ Τερεντία κατεφήμιζεν, ἔρωτι τῆς ὥρας, ὡς δὲ Τίρων ὁ τοῦ Κικέρωνος ἀπελεύθερος γέγραφεν, εὐπορίας ἕνεκεν πρὸς διάλυσιν δανείων. Ἦν γὰρ ἡ παῖς πλουσία σφόδρα, καὶ τὴν οὐσίαν αὐτῆς ὁ Κικέρων ἐν πίστει κληρονόμος ἀπολειφθεὶς(7) διεφύλαττεν. Ὀφείλων δὲ πολλὰς μυριάδας(8) ὑπὸ τῶν φίλων καὶ οἰκείων ἐπείσθη τὴν παῖδα γῆμαι παρ' ἡλικίαν(9) καὶ τοὺς δανειστὰς ἀπαλλάξαι(10) τοῖς ἐκείνης χρησάμενος. Ἀντώνιος δέ, τοῦ γάμου μνησθεὶς ἐν ταῖς πρὸς τοὺς Φιλιππικοὺς ἀντιγραφαῖς, ἐκβαλεῖν φησιν αὐτὸν γυναῖκα παρ' ἣν ἐγήρασε, χαριέντως ἅμα τὴν οἰκουρίαν ὡς ἀπράκτου καὶ ἀστρατεύτου παρασκώπτων τοῦ Κικέρωνος(11).

Γήμαντι δ' αὐτῷ μετ' οὐ πολὺν χρόνον ἡ θυγάτηρ ἀπέθανε(12) τίκτουσα παρὰ Λέντλῳ· τούτῳ γὰρ ἐγαμήθη μετὰ τὴν Πείσωνος τοῦ προτέρου(13) ἀνδρὸς τελευτήν. Καὶ συνῆλθον μὲν ἐπὶ [illegible] παραμυθίαν τῷ Κικέρωνι πανταχόθεν οἱ φίλοι(14)· βαρέως [illegible]

5. Ἐπὶ πολλοῖς ὀφλήμασι, tout en ayant contracté, au nom de Cicéron, de nombreuses dettes.

6. « Une jeune et belle patricienne, Publilia. »

7. D'après la loi *Voconia*, de l'an 169 avant J.-C., le possesseur d'une fortune estimée, lors du dernier cens, à 100 000 as au moins, ne pouvait instituer héritière universelle une femme ou une fille : ainsi un père riche ne pouvait léguer que la moitié seulement de sa fortune à sa propre fille. Pour éluder cette loi, le père de Publilia avait désigné nominativement Cicéron, en lui donnant sa fille en mariage, pour son héritier, mais sous la promesse de celui-ci de restituer cet héritage à Publilia. Un legs de cette nature s'appelle un fidéicommis. *Heres fiduciarius* est le nom que les Romains donnaient à un tel héritier apparent ; c'est cette expression que Plutarque rend par ἐν πίστει κληρονόμος.

8. Πολλὰς μυριάδας, sous-entendu δραχμῶν.

9. Παρ' ἡλικίαν, « encore qu'il fust hors d'aage pour elle. » (Amyot.)

10. Τοὺς δανειστὰς ἀπαλλάξαι, se débarrasser de ses créanciers.

11. Amyot, en s'écartant de la construction du grec, traduit très fidèlement : « Se mocquant aussi plaisamment en passant (ἅμα) de ce qu'il avoit esté homme oiseux (ἀπράκτου), qui ne s'estoit jamais party de sa maison (οἰκουρίαν) ny n'avoit esté en guerre (ἀστρατεύτου) pour faire service à la chose publique » (ces derniers mots ajoutés à l'original).

12. En février 45.

13. Son *précédent* mari (προτέρου) était Crassipes, d'avec qui elle divorça. Pison fut son *premier* mari. Tout cet endroit de Plutarque est plein d'erreurs : ainsi ce n'est point chez Lentulus Dolabella, de qui elle avait dû aussi se séparer, mais dans la maison de campagne de son propre père, à Tusculum, qu'elle mourut de suites de couches.

14. La lettre que son vieil ami Sulpicius, le grand jurisconsulte, lui

ἄγαν ἤνεγκε τὸ συμβεβηκός, ὥστε καὶ τὴν γαμηθεῖσαν ἀποπέμπεσθαι δόξασαν ἡσθῆναι(15) τῇ τελευτῇ τῆς Τουλλίας(16).

CHAPITRE XLII.

Τὰ μὲν οὖν κατ' οἶκον οὕτως εἶχε τῷ Κικέρωνι. Τῆς δ' ἐπὶ Καίσαρι συνισταμένης πράξεως(1) οὐ μετέσχε, καίπερ ὢν ἑταῖρος ἐν τοῖς μάλιστα Βρούτου(2) καὶ βαρύνεσθαι τὰ παρόντα καὶ τὰ πάλαι ποθεῖν πράγματα δοκῶν, ὡς ἕτερος οὐδείς. Ἀλλ' ἔδεισαν οἱ ἄνδρες αὐτοῦ τήν τε φύσιν, ὡς ἐνδεᾶ τόλμης, τόν τε χρόνον(3), ἐν ᾧ καὶ ταῖς ἐρρωμενεστάταις φύσεσιν ἐπιλείπει τὸ θαρρεῖν. Ὡς δ' οὖν ἐπέπρακτο τοῖς περὶ Βροῦτον καὶ Κάσσιον τὸ ἔργον(4) καὶ τῶν Καίσαρος φίλων συνισταμένων ἐπὶ τοὺς ἄνδρας(5), αὖθις ἦν δέος ἐμφυλίοις πολέμοις περιπετῆ γενέσθαι τὴν πόλιν, Ἀντώνιος μὲν ὑπατεύων τὴν βουλὴν συνήγαγε καὶ βραχέα διελέχθη περὶ ὁμονοίας, Κικέρων δέ, πολλὰ πρὸς τὸν καιρὸν οἰκείως διελθών, ἔπεισε τὴν σύγκλητον, Ἀθηναίους μιμησαμένην(6), ἀμνη-

---

écrivit dans cette circonstance, de Grèce, dont il était alors gouverneur, est conservée dans le recueil de la correspondance de Cicéron (*Ad famil.*, IV, 5). C'est un morceau classique qu'il faut connaître.

15. *Ἡσθῆναι, ressentir de la joie.* Le présent ἥδεσθαι veut dire *être joyeux*, exprimant un état qui dure; ἡσθῆναι est ici un aoriste dit *inchoatif*, marquant une action qui se produit à un moment donné.

16. Sur Terentia, Tullia, la fortune de Cicéron et ses esclaves, surtout Tiron, lisez le chapitre intitulé *La vie privée de Cicéron* dans le livre de M. G. Boissier, *Cicéron et ses amis*.

Ch. XLII.] 1. *Τῆς ... πράξεως*, « la conjuration à l'encontre de César » (Amyot.)

2. *Βρούτου.* « La liaison de Cicéron et de Brutus dura dix ans. Le recueil des lettres qu'ils s'écrivirent dans cet intervalle devait être volumineux, puisqu'un grammairien en cite le neuvième livre. Elles sont toutes perdues, à l'exception de vingt-cinq, qui ont été écrites après la mort de César... Brutus tient une grande place dans les ouvrages qui nous restent de Cicéron. » (Boissier.) M. Boissier, dans *Cicéron et ses amis*, a consacré aux relations de Brutus avec Cicéron tout un chapitre, qui est à lire.

3. *Τὸν χρόνον.* « Son âge. Cicéron avait 63 ans. »

4. *Τὸ ἔργον*, c'est-à-dire l'assassinat de César.

5. *Τοὺς ἄνδρας*, ce sont les meurtriers.

6. Qui, après que Thrasybule eut chassé les Trente tyrans, en 403-402 avant J.-C., avaient décrété une amnistie générale, la première dont l'histoire fasse mention. Dans les premières lignes de la Ire *Philippique*, Cicéron, faisant allusion à ce précédent discours (qui est perdu) dit: « *Quantum in me fuit, jeci fundamenta pacis Atheniensiumque renovavi vetus exemplum: Graecum etiam verbum* (ἀμνηστίαν) *usurpavi, quo tum in sedandis discordiis usa erat civitas illa, atque omnem memoriam discordiarum oblivione sempiterna delendam censui.* »

στίαν τῶν ἐπὶ Καίσαρι[7] *ψηφίσασθαι, νεῖμαι δὲ τοῖς περὶ Κάσσιον καὶ Βροῦτον ἐπαρχίας. Ἔσχε δὲ τούτων τέλος οὐδέν. Ὁ γὰρ δῆμος αὐτὸς μὲν ἀφ' ἑαυτοῦ πρὸς οἶκτον ἐξαχθείς, ὡς εἶδε τὸν νεκρὸν ἐκκομιζόμενον δι' ἀγορᾶς, Ἀντωνίου δὲ καὶ τὴν ἐσθῆτα δείξαντος αὐτοῖς*[8] *αἵματος κατάπλεων καὶ κεκομμένην πάντη τοῖς ξίφεσιν, ἐμμανέντες ὑμ' ὀργῆς ἐν ἀγορᾷ ζήτησιν ἐποιοῦντο τῶν ἀνδρῶν*[9], *καὶ πῦρ ἔχοντες ἐπὶ τὰς οἰκίας ἔθεον ὡς ὑφάψοντες. Οἱ δὲ τοῦτον τῷ προπεφυλάχθαι διέφυγον τὸν κίνδυνον, ἑτέρους δὲ πολλοὺς καὶ μεγάλους*[10] *προσδοκῶντες ἐξέλιπον τὴν πόλιν.*

CHAPITRE XLIII.

Εὐθὺς οὖν ὁ Ἀντώνιος ἐπῆρτο, καὶ πᾶσι μὲν ἦν φανερὸς ὡς μοναρχήσων[1], *τῷ δὲ Κικέρωνι φοβερώτατος. Ἀναρρωννυμένην τε γὰρ αὐτῷ πάλιν ὁρῶν τὴν δύναμιν ἐν τῇ πολιτείᾳ, καὶ τοῖς περὶ Βροῦτον ἐπιτήδειον εἰδώς*[2], *ἤχθετο παρόντι*[3]. *Καί πού τι καὶ προϋπῆρχεν ὑποψίας αὐτοῖς πρὸς ἀλλήλους κατὰ*[4] *τὴν τῶν βίων ἀνομοιότητα καὶ διαφοράν. Ταῦτα δὴ δείσας ὁ Κικέρων πρῶτον μὲν ὥρμησε πρεσβευτὴς Δολοβέλλᾳ συνεκπλεῦσαι εἰς Συρίαν· ἐπεὶ δ' οἱ μέλλοντες ὑπατεύειν μετ' Ἀντώνιον, Ἵρτιος καὶ Πάνσας, ἄνδρες ἀγαθοὶ καὶ ζηλωταὶ τοῦ Κικέρωνος, ἐδέοντο μὴ σφᾶς ἐγκαταλιπεῖν, ἀναδεχόμενοι καταλύσειν τὸν Ἀντώνιον ἐκείνου παρόντος, ὁ δ', οὔτ' ἀπιστῶν παντάπασιν οὔτε πιστεύων, Δολοβέλλαν μὲν εἴασε χαίρειν*[5], *ὁμολογήσας δὲ τοῖς περὶ τὸν Ἵρτιον τὸ θέρος ἐν Ἀθήναις διάξειν, ὅταν δ' ἐκεῖνοι παραλάβωσι τὴν ἀρχήν, ἀφίξεσθαι πάλιν, αὐτὸς καθ' ἑαυτὸν*[6] *ἐξέπλευσε.*

Γενομένης δὲ περὶ τὸν πλοῦν διατριβῆς[7], *καὶ λόγων ἀπὸ*

---

7. *Τῶν ἐπὶ Καίσαρι.* Cf. la note 1 du présent chapitre.
8. *Αὐτοῖς*, à eux, *au peuple*. La phrase suit dès lors avec les verbes au pluriel, *ἐμμανέντες ἐποιοῦντο*, etc.
9. *Ζήτησιν . . . τῶν ἀνδρῶν* « Cherchans par la place s'ilz trouveroient aucuns de ceulx qui l'avoient tué. » (Amyot.)
10. *Ἑτέρους . . . .* s.-entendu *κινδύνους*.

Ch. XLIII.] 1. *Ἦν φανερὸς ὡς μοναρχήσων.* Hellénisme connu, égal à *Φανερὸν ἦν ὅτι μοναρχήσει*.
2. *Εἰδώς*: sous-entendu *αὐτόν*, Cicéron.
3. *Παρόντι* donne le même sens que *διότι παρῆν*.
4. *Κατά*, en raison de.
5. « *Ἐῶ χαίρειν*, comme en latin *valere jubeo*, dire adieu, abandonner. »
6. *Αὐτὸς καθ' ἑαυτόν*, à part lui, tout seul.
7. *Γενομένης . . . διατριβῆς.* Par suite de vents contraires.

Ῥώμης, οἷα φιλεῖ (8), καινῶν προσπεσόντων, μεταβεβλῆσθαι (9) μὲν Ἀντώνιον θαυμαστὴν μεταβολὴν καὶ πάντα πράττειν καὶ πολιτεύεσθαι πρὸς τὴν σύγκλητον (10), ἐνδεῖν δὲ τῆς ἐκείνου παρουσίας τὰ πράγματα μὴ τὴν ἀρίστην ἔχειν διάθεσιν (11), καταμεμψάμενος αὐτὸς αὑτοῦ τὴν πολλὴν εὐλάβειαν, ἀνέστρεψεν αὖθις εἰς Ῥώμην. Καὶ τῶν πρώτων οὐ διημάρτανεν ἐλπίδων· τοσοῦτο πλῆθος ἀνθρώπων ὑπὸ χαρᾶς καὶ πόθου πρὸς τὴν ἀπάντησιν ἐξεχύθη, καὶ σχεδὸν ἡμερήσιον ἀνάλωσαν χρόνον αἱ περὶ τὰς πύλας καὶ τὴν εἴσοδον αὐτοῦ δεξιώσεις καὶ φιλοφροσύναι.

Τῇ δ' ὑστεραίᾳ βουλὴν συναγαγόντος Ἀντωνίου καὶ καλοῦντος αὐτὸν οὐκ ἦλθεν, ἀλλὰ κατέκειτο, μαλακῶς ἔχειν ἐκ τοῦ κόπου σκηπτόμενος. Ἐδόκει δὲ τἀληθὲς (12) ἐπιβουλῆς εἶναι φόβος ἔκ τινος ὑποψίας καὶ μηνύσεως καθ' ὁδὸν αὐτῷ προσπεσούσης. Ἀντώνιος δὲ χαλεπῶς μὲν εἶχεν ἐπὶ τῇ διαβολῇ, καὶ στρατιώτας ἔπεμψεν, αὐτὸν ἄγειν ἢ καταπρῆσαι (13) τὴν οἰκίαν κελεύσας· ἐνστάντων δὲ πολλῶν καὶ δεηθέντων, ἐνέχυρα λαβὼν μόνον ἐπαύσατο. Καὶ τὸ λοιπὸν οὕτως ἀντιπαρεξιόντες ἀτρέμα καὶ φυλαττόμενοι διετέλουν (14), ἄχρι οὗ Καῖσαρ ὁ νέος, ἐξ Ἀπολλωνίας παραγενόμενος (15), τόν τε κλῆρον ἀνεδέξατο (16) τοῦ Καίσαρος ἐκείνου (17) καὶ περὶ τῶν δισχιλίων πεντακοσίων μυριάδων (18), ἃς

---

8. *Οἷα φιλεῖ, ut (fieri) assolet.*

9. *Μεταβεβλῆσθαι.* Devant ce mot sous-entendez: (nouvelles, *λόγων καινῶν*) *portant, disant* que.

10. *Πρὸς τὴν σύγκλητον*, selon les vues du sénat.

11. *Ἐνδεῖν ... διάθεσιν.* Amyot: «Et qu'il ne tenoit plus qu'à sa presence que toutes les choses n'allassent bien.» Remarquez l'emploi de la négation en grec comme en français dans cette tournure, laquelle revient pour le sens à ceci: Il manquait, pour que tout allât bien, que Cicéron fût présent.

12. *Τἀληθές*, crase pour *τὸ ἀληθές*.

13. *Καταπρῆσαι*, mettre le feu à (sens inchoatif de l'aoriste). — Plutarque altère un peu les termes. Cicéron lui-même, dans sa *Ire Philippique*, dit (v, § 11-12): «*Quid tandem erat causae cur in senatum hesterno die tam acerbe cogerer? ... Ita sine cura consules sunt, ut paene liberum sit senatori non adesse. Qui quum mihi mos notus esset quumque e via languerem et mihimet displicerem, nisi pro amicitia qui hoc ei diceret. At ille vobis audientibus cum fabris se domum meam venturum esse dixit ... Se publicis operis disturbaturum publice ex senatus sententia aedificatam domum! Quis autem unquam tanto damno senatorem coëgit? aut quid est ultra pignus* (cf. ci-après *ἐνέχυρα λαβών*) *aut mulctam?*»

14. *Ἀντιπαρεξιόντες ἀτρέμα διετέλουν* est fort bien rendu par Amyot: «Ils continuerent à s'entreharceler tout doulcement.»

15. «Octavianus (ou, comme on dit ordinairement, Octave), fils adoptif de César, plus tard Auguste. Il étudiait à Apollonie, ville de l'Illyrie.»

16. *Τὸν κλῆρον ἀνεδέξατο*, se porta pour héritier.

17. *Τοῦ Καίσαρος ἐκείνου*, c'est-à-dire de feu Jules César.

18. 25 millions de *drachmes*, faisant 4167 talents athéniens. (Dans la

Ἀντώνιος ἐκ τῆς οὐσίας κατεῖχεν(19), εἰς διαφορὰν κατέστ
αὐτόν.

CHAPITRE XLIV.

Ἐκ δὲ τούτου Φίλιππος, ὁ τὴν μητέρα τοῦ νέου Κ
ἔχων(1), καὶ Μάρκελλος, ὁ τὴν ἀδελφήν(2), ἀφικόμενοι μ
νεανίσκου πρὸς Κικέρωνα συνέθεντο, Κικέρωνα μὲν ἐκεί
ἀπὸ τοῦ λόγου καὶ τῆς πολιτείας δύναμιν ἔν τε τῇ βουλῇ
δήμῳ παρέχειν, ἐκεῖνον δὲ Κικέρωνι τὴν ἀπὸ τῶν χρημάτ
τῶν ὅπλων ἀσφάλειαν. Ἤδη γὰρ οὐκ ὀλίγους τῶν ὑπὸ
στρατευσαμένων περὶ αὐτὸν εἶχε τὸ μειράκιον.

Ἐδόκει δὲ καὶ μείζων τις αἰτία γεγονέναι τοῦ τὸν Κικέρ
ξασθαι προθύμως τὴν Καίσαρος φιλίαν. Ἔτι γάρ, ὡς ἔοι
Πομπηΐου ζῶντος καὶ Καίσαρος(3), ἔδοξε κατὰ τοὺς ὕπ
Κικέρων καλεῖν τινα τοὺς τῶν συγκλητικῶν παῖδας εἰς
πιστώλιον, ὡς(4) μέλλοντος ἐξ αὐτῶν ἕνα τοῦ Διὸς ἀποδε
τῆς Ῥώμης ἡγεμόνα· τοὺς δὲ πολίτας ὑπὸ σπουδῆς θέοντα
σθαι περὶ τὸν νεὼν καὶ τοὺς παῖδας ἐν ταῖς περιπορφ
καθέζεσθαι σιωπὴν ἔχοντας. Ἐξαίφνης δὲ τῶν θυρῶν ἀν
σῶν, καθ' ἕνα τῶν παίδων ἀνισταμένων, κύκλῳ παρὰ τὸ
παραπορεύεσθαι, τὸν δὲ πάντας ἐπισκοπεῖν καὶ ἀποπ
ἀχθομένους. Ὡς δ' οὗτος(6) ἦν προσιὼν κατ' αὐτόν(7), ἐ
τὴν δεξιὰν αὐτῷ καὶ εἰπεῖν «Ὦ Ῥωμαῖοι(8), πέρας ὑμῖν ἐμ
πολέμων οὗτος ἡγεμὼν γενόμενος(9).» Τοιοῦτό φασιν ἐ

Vie d'Antoine, Plutarque dit, en chiffres ronds, 4000 talents.) Su
leur de la drachme, voy. la note 10 du ch. III.

19. « A la mort de César, sa femme avait remis sa fortune à g
Antoine. »

Ch. XLIV.] 1. Attia, mère d'Octave et nièce de Jules Césa
épousé en secondes noces L. Marcius Philippus.

2. M. Claudius Marcellus Æserninus, mari d'Octavie, sœur d'Oc
père du jeune Marcellus, désigné par Auguste pour être son suc
et dont la mort prématurée fut pleurée par Virgile dans l'épisode
du VIe livre de l'*Énéide: Tu Marcellus eris* (à partir du vers 86

3. *Du vivant de César et de Pompée*, bien que ζῶντος ne se r
grammaticalement qu'à *Πομπηΐου* seulement.

4. Ὡς. Cf. la n. 15 du ch. III.

5. *Περιπορφύροις*. Voyez la note 6 du ch. XIX.

6. *Οὗτος*. Octave.

7. *Ἦν κατ' αὐτόν*, fut devant lui.

8. *Ὦ Ῥωμαῖοι, ... οὗτος ἡγεμὼν γενόμενος*. Amyot : « Seign
mains, cest [= *cet*] enfant icy est celui qui mettra fin à vos gu
viles quand il sera votre chef. »

9. « Suétone et Dion Cassius attribuent ce songe, ou plutôt u

ἰδόντα τὸν Κικέρωνα τὴν μὲν ἰδέαν τοῦ παιδὸς ἐκμεμάχθαι καὶ κατέχειν ἐναργῶς, αὐτὸν δ' οὐκ ἐπίστασθαι(10). Μεθ' ἡμέραν δὲ καταβαίνοντος εἰς τὸ πεδίον τὸ Ἄρειον(11) αὐτοῦ, τοὺς παῖδας ἤδη γεγυμνασμένους ἀπέρχεσθαι, κἀκεῖνον ὀφθῆναι τῷ Κικέρωνι πρῶτον οἷος ὤφθη καθ' ὕπνον· ἐκπλαγέντα δὲ πυνθάνεσθαι(12), τίνων εἴη γονέων. Ἦν δὲ πατρὸς μὲν Ὀκταουΐου τῶν οὐκ ἄγαν ἐπιφανῶν, Ἀττίας δὲ μητρός, ἀδελφιδῆς Καίσαρος(13). Ὅθεν Καῖσαρ αὐτῷ, παῖδας οὐκ ἔχων ἰδίους, καὶ τὴν οὐσίαν καὶ τὸν οἶκον ἐν ταῖς διαθήκαις ἔδωκεν. Ἐκ τούτου φασὶ τὸν Κικέρωνα τῷ παιδὶ κατὰ τὰς ἀπαντήσεις ἐντυγχάνειν ἐπιμελῶς, κἀκεῖνον οἰκείως δέχεσθαι τὰς φιλοφροσύνας· καὶ γὰρ ἐκ τύχης αὐτὸν γεγονέναι(14) συμβεβήκει Κικέρωνος ὑπατεύοντος.

CHAPITRE XLV.

Αὗται μὲν οὖν ἴσως προφάσεις ἦσαν λεγόμεναι· τὸ δὲ πρὸς Ἀντώνιον μῖσος Κικέρωνα πρῶτον, εἶτα ἡ φύσις, ἥττων μὲν οὖσα τιμῆς(1), προσεποίησε Καίσαρι νομίζοντα προσλαμβάνειν τῇ πολιτείᾳ τὴν ἐκείνου δύναμιν. Οὕτω γὰρ ὑπῄει(2) τὸ μειράκιον αὐτόν, ὥστε καὶ πατέρα προσαγορεύειν. Ἐφ' ᾧ(3) σφόδρα Βροῦτος ἀγανακτῶν ἐν ταῖς πρὸς Ἀττικὸν ἐπιστολαῖς(4) καθή-

---

logue, à Quintus Catulus. Le premier de ces auteurs rapporte ainsi celui de Cicéron: « *Puerum facie liberali, demissum caelo catena aurea, ad fores Capitolii constitisse, eique Jovem flagellum tradidisse. Deinde repente Augusto viso... affirmavit* (Cicero) *ipsum esse cujus imago secundum quietem sibi observata sit.* »

10. Amyot: » Qu'il imprima (ἐκμεμάχθαι) bien fermement en sa mémoire (καὶ κατέχειν ἐναργῶς) la forme du visage (τὴν ἰδέαν) de l'enfant, mais il ne le cognoissoit point » (αὐτὸν δὲ οὐκ ἐπίστασθαι).

11. *Τὸ πεδίον τὸ Ἄρειον, campus Martius.*

12. *Πυνθάνεσθαι* (τὸν Κικέρωνα).

13. *Ἀττίας δὲ μητρός, ἀδελφιδῆς Καίσαρος.* « Attia était fille de M. Atius Balbus et de Julie, sœur de César. » (Cf. la note 1 du prés. chap.)

14. Le 23 septembre 63.

Ch. XLV.] 1. « *Ἥττων τῆς τιμῆς*, et ailleurs *ἥττων τῆς γαστρός, τῶν ἡδονῶν*, se dit de celui qui ne peut résister à l'ascendant qu'ont sur lui les honneurs, les plaisirs, la bonne chère. »

2. *Οὕτως αὐτὸν ὑπῄει* est rendu librement, mais exactement d'ailleurs, par Amyot: « le sçavoit si bien flatter. »

3. *Ἐφ' ᾧ*, entendez: au sujet de cette intimité de Cicéron avec Octave.

4. Voici, dans le premier livre de la correspondance de Cicéron avec Brutus, deux lettres de ce dernier, l'une à Atticus, l'autre à Cicéron lui-même, où se trouvent les passages que Plutarque a dû avoir en vue, lorsqu'il a écrit ces lignes. 1° XVII. 5: » *Licet ergo patrem appellet Octavius Ciceronem, referat omnia, laudet, gratias agat, tamen illud apparebit, verba*

ψατο τοῦ Κικέρωνος, ὅτι, διὰ φόβον Ἀντωνίου θεραπεύων Καίσαρα, δῆλός ἐστιν οὐκ ἐλευθερίαν τῇ πατρίδι πράττων, ἀλλὰ δεσπότην φιλάνθρωπον αὐτῷ μνώμενος. Οὐ μὴν ἀλλὰ τόν γε παῖδα τοῦ Κικέρωνος ὁ Βροῦτος, ἐν Ἀθήναις διατρίβοντα παρὰ τοῖς φιλοσόφοις, ἀναλαβὼν ἔσχεν ἐφ' ἡγεμονίαις(5)*, καὶ πολλὰ χρώμενος αὐτῷ κατώρθου. Τοῦ δὲ Κικέρωνος ἀκμὴν ἔσχεν ἡ δύναμις*(6) *ἐν τῇ πόλει τότε μεγίστην· καὶ κρατῶν ὅσον ἐβούλετο, τὸν μὲν Ἀντώνιον ἐξέκρουσε καὶ κατεστασίασε*(7) *καὶ πολεμήσοντας αὐτῷ τοὺς δύο ὑπάτους, Ἵρτιον καὶ Πάνσαν, ἐξέπεμψε, Καίσαρι δὲ ῥαβδούχους καὶ στρατηγικὸν κόσμον, ὡς δὴ προπολεμοῦντι τῆς πατρίδος, ἔπεισε ψηφίσασθαι τὴν σύγκλητον.*

Ἐπεὶ δ' Ἀντώνιος μὲν ἥττητο(8) *τῶν δ' ὑπάτων ἀμφοτέρων ἐκ τῆς μάχης ἀποθανόντων*(9) *πρὸς Καίσαρα συνέστησαν αἱ δυνάμεις, δείσασα δ' ἡ βουλὴ νέον ἄνδρα καὶ τύχῃ λαμπρᾷ κεχρημένον ἐπειρᾶτο τιμαῖς καὶ δωρεαῖς ἀποκαλεῖν αὐτοῦ τὰ στρατεύματα*(10) *καὶ περισπᾶν τὴν δύναμιν, ὡς μὴ δεομένη τῶν προπολεμούντων, Ἀντωνίου πεφευγότος· οὕτως*(11) *ὁ Καῖσαρ φοβηθεὶς ὑπέπεμπε τῷ Κικέρωνι τοὺς δεομένους καὶ πείθοντας*(12) *ὑπατείαν μὲν ἀμφοτέροις*(13) *ὁμοῦ πράττειν, χρῆσθαι*(14) *δὲ τοῖς πραγ-*

---

rebus esse contraria: quid enim tam alienum ab humanis sensibus est quam eum patris habere loco, qui ne liberi quidem hominis numero sit? Atqui eo tendit, id agit, ad eum exitum properat vir optimus, ut sit illi Octavius propitius.» — 2° XVI, 7: *«Nam, si Octavius tibi placet, a quo de nostra salute petendum sit, non dominum fugisse, sed amiciorem dominum quaesisse videberis.»*

5. *Ἔσχεν ἐφ' ἡγεμονίαις*, il l'employa dans des commandements.

6. Construisez: *Ἡ δύναμις τοῦ Κικέρωνος*. A la phrase suivante, *Καὶ κρατῶν κτλ.*, le sujet est *Κικέρων* s.-entendu.

7. «Cela, par la *cinquième Philippique*, prononcée le 1er janvier 43, et à la suite de laquelle Antoine, qui voulait se mettre de force en possession de la Gaule cisalpine, province attribuée à D. Brutus, fut déclaré ennemi public, tandis qu'Octave, à qui l'on conféra la dignité de propréteur, reçut, conjointement avec les consuls Hirtius et Pansa, la mission de protéger les droits de Brutus.»

8. *Ἥττητο*, à la bataille de Modène, le 16 avril 43.

9. *Ἐκ τῆς μάχης*, du combat, c'est-à-dire des suites du combat. Hirtius périt dans l'action; Pansa mourut de ses blessures, peu de jours après, à Bologne.

10. Dion Cassius raconte comment le sénat chercha à jeter la dissension dans l'armée qui s'était rassemblée autour d'Octave, en distribuant aux uns de magnifiques récompenses et rien aux autres.

11. *Οὕτως*, corrélatif de *ἐπεί* qui commande toute la phrase jusqu'ici; *οὕτως, dans ces conditions, alors.*

12. *Τοὺς δεομένους καὶ πείθοντας* (hellénisme connu), «gens pour luy suader et le prier.» (Amyot.)

13. *Ἀμφοτέροις*, pour eux deux (Cicéron et Octave).

14. *Χρῆσθαι κτλ.* Amyot: (Et *pour lui dire* que,) «une fois arrivé au

μασιν ὅπως αὐτὸς ἔγνωκε, παραλαβόντα τὴν ἀρχήν, καὶ τὸ μειράκιον διοικεῖν ὀνόματος καὶ δόξης γλιχόμενον. Ὁμολογεῖ δ' ὁ Καῖσαρ αὐτὸς(15) *ὡς, δεδιὼς κατάλυσιν καὶ κινδυνεύων ἔρημος γενέσθαι, χρήσαιτο*(16) *τῇ Κικέρωνος ἐν δέοντι φιλαρχίᾳ, προτρεψάμενος αὐτὸν*(17) *ὑπατείαν μετιέναι συμπράττοντος αὐτοῦ καὶ συναρχαιρεσιάζοντος.*

CHAPITRE XLVI.

Ἐνταῦθα μέντοι μάλιστα Κικέρων ἐπαρθεὶς(1) *ἀπὸ νέου γέρων καὶ φενακισθεὶς καὶ συναρχαιρεσιάσας καὶ παρασχὼν αὐτῷ τὴν σύγκλητον*(2), *εὐθὺς μὲν ὑπὸ τῶν φίλων αἰτίαν εἶχεν, ὀλίγῳ δ' ὕστερον αὑτὸν ἀπολωλεκὼς ᾔσθετο καὶ τοῦ δήμου προέμενος τὴν ἐλευθερίαν. Αὐξηθεὶς γὰρ ὁ νεανίας καὶ τὴν ὑπατείαν λαβὼν Κικέρωνα μὲν εἴασε χαίρειν*(3), *Ἀντωνίῳ δὲ καὶ Λεπίδῳ φίλος γενόμενος καὶ τὴν δύναμιν εἰς ταὐτὸ συνενεγκών, ὥσπερ ἄλλο τι κτῆμα, τὴν ἡγεμονίαν ἐνείματο πρὸς αὐτούς*(4). *Καὶ κατεγράφησαν ἄνδρες οὓς ἔδει θνήσκειν, ὑπὲρ διακοσίους. Πλείστην δὲ τῶν ἀμφισβητημάτων αὐταῖς ἔριν ἡ Κικέρωνος προγραφὴ παρέσχεν, Ἀντωνίου μὲν ἀσυμβάτως ἔχοντος, εἰ μὴ πρῶτος ἐκεῖνος ἀποθνήσκοι*(5), *Λεπίδου δ' Ἀντωνίῳ προστιθεμένου, Καίσαρος δὲ πρὸς ἀμφοτέρους ἀντέχοντος. Ἐγίγνοντο δ' αἱ σύνοδοι*(6) *μόνοις ἀπόρρητοι περὶ πόλιν Βολωνίαν*(7) *ἐφ' ἡμέρας τρεῖς, καὶ συνῄεσαν*

---

consulat (*παραλαβόντα τὴν ἀρχήν*), il ordonneroit de toutes choses ainsi que bon lui sembleroit, et manieroit ce jeune homme à son plaisir, lequel n'en desiroit avoir que le titre et l'honneur seulement.»

15. Sur les *Mémoires* d'Auguste, cf. ci-après la note 4 du ch. III du *Parallèle*, et *Sources*, 16; et consultez Egger, *Examen critique des historiens anciens de la vie et du règne d'Auguste*.

16. Χρήσαιτο. L'emploi de l'optatif (au lieu de l'indicatif) après φησὶν ὅτι (et autres verbes de ce sens), quand il s'agit du passé, est très fréquent dans la décadence de la langue.

17. *Αὐτόν*, Cicéron. Ensuite: *αὐτοῦ*, Octave.

Ch. XLVI.] 1. *Ἐπαρθείς*, entraîné, séduit.

2. L'histoire ici est toute faussée: Octave n'offrit pas le consulat à Cicéron, et Cicéron, loin de parler dans le sénat en faveur de la candidature d'Octave, « in senatu sceleratissimorum consiliorum fontes aperire non dubitavit. » (*Lettres à Brutus*, I, x, 3.).

3. Ce fut Q. Pedius qui fut consul avec lui.

4. Ils instituèrent entre eux le second triumvirat, se donnant le titre de *triumviri rei publicae constituendae*.

5. *Ἀντωνίου μὲν ... ἀποθνήσκοι*. Amyot: « Car Antonius ne vouloit entendre à appointement quelconque, que celuy là premierement ne mourust. »

6. *Ἐγίγνοντο κτλ.* En novembre 43.

7. *Βολωνίαν*, Bologne.

εἰς τόπον τινά, πρόσω τῶν στρατοπέδων, ποταμῷ περιρρεόμενον. Λέγεται δέ, τὰς πρώτας ἡμέρας διαγωνισάμενος ὑπὲρ τοῦ Κικέρωνος, ὁ Καῖσαρ ἐνδοῦναι τῇ τρίτῃ καὶ προέσθαι τὸν ἄνδρα. Τὰ δὲ τῆς ἀντιδόσεως οὕτως εἶχεν· ἔδει Κικέρωνος μὲν ἐκστῆναι Καίσαρα, Παῦλον δὲ τἀδελφοῦ Λέπιδον, Λευκίου δὲ Καίσαρος Ἀντώνιον, ὃς ἦν θεῖος αὐτῷ πρὸς μητρός(8). Οὕτως ἐξέπεσον ὑπὸ θυμοῦ καὶ λύσσης τῶν ἀνθρωπίνων λογισμῶν(9), μᾶλλον δ' ἀπέδειξαν ὡς οὐδὲν ἀνθρώπου θηρίον ἐστὶν ἀγριώτερον, ἐξουσίαν πάθει προσλαβόντος.

CHAPITRE XLVII.

Πραττομένων δὲ τούτων, ὁ Κικέρων ἦν μὲν ἐν ἀγροῖς ἰδίοις περὶ Τοῦσκλον, ἔχων τὸν ἀδελφὸν σὺν αὐτῷ· πυθόμενοι δὲ τὰς προγραφὰς ἔγνωσαν εἰς Ἄστυρα(1) μεταβῆναι, χωρίον(2) παράλιον τοῦ Κικέρωνος· ἐκεῖθεν δὲ πλεῖν εἰς Μακεδονίαν πρὸς Βροῦτον· ἤδη γὰρ ὑπὲρ αὐτοῦ λόγος ἐφοίτα κρατοῦντος. Ἐκομίζοντο δ' ἐν φορείοις ἀπειρηκότες ὑπὸ λύπης· καὶ κατὰ τὴν ὁδὸν ἐφιστάμενοι(3) καὶ τὰ φορεῖα παραβαλόντες, ἀλλήλοις προσωλοφύροντο. Μᾶλλον δ' ὁ Κόϊντος ἠθύμει, καὶ λογισμὸς αὐτὸν εἰσῄει τῆς ἀπορίας· οὐδὲν γὰρ ἔφη λαβεῖν οἴκοθεν· ἀλλὰ καὶ τῷ Κικέρωνι γλίσχρον ἦν ἐφόδιον· ἄμεινον οὖν εἶναι τὸν μὲν Κικέρωνα προλαμβάνειν(4) τῆς φυγῆς, αὐτὸν δὲ μεταθεῖν οἴκοθεν συσκευασάμενον. Ταῦτ' ἔδοξε· καὶ περιβαλόντες ἀλλήλους(5) καὶ ἀνακλαυσάμενοι διελύθησαν.

Ὁ μὲν οὖν Κόϊντος οὐ πολλαῖς ὕστερον ἡμέραις ὑπὸ τῶν οἰκετῶν προδοθεὶς τοῖς ζητοῦσιν, ἀνῃρέθη μετὰ τοῦ παιδός. Ὁ δὲ Κικέρων εἰς Ἄστυρα κομισθεὶς καὶ πλοῖον εὐθὺς εὑρὼν ἐνέβη

---

8. L. Æmilius Paulus, consul de l'an 50, et L. Julius Cæsar, consul de l'an 64. Ils échappèrent tous les deux aux soldats envoyés pour les tuer.

9. *Οὕτως ἐξέπεσον τῶν ἀνθρωπίνων λογισμῶν*, « Tant ilz se jetterent hors de toute raison et de toute humanité. » (Amyot.)

Ch. XLVII.] 1. *Ἄστυρα*. En latin on dit *Astura,-ae*; c'est le nom d'une rivière, et aussi d'une petite île située à l'embouchure de cette rivière, un peu au sud d'Antium.

2. *Χωρίον*, propriété.

3. *Ἐφιστάμενοι*, s'arrêtant.

4. *Προλαμβάνειν τῆς φυγῆς*, « que Ciceron gaignast tousjours le devant. » (Amyot.)

5. *Περιβαλόντες ἀλλήλους*, après s'être « entrembrassés », comme dit Amyot.

καὶ παρέπλευσεν ἄχρι Κιρκαίου(6), *πνεύματι χρώμενος. Ἐκεῖθεν δὲ βουλομένων εὐθὺς αἴρειν τῶν κυβερνητῶν, εἴτε δείσας τὴν θάλασσαν εἴτ' οὔπω παντάπασι τὴν Καίσαρος ἀπεγνωκὼς πίστιν, ἀπέβη καὶ παρῆλθε πεζῇ σταδίους ἑκατόν, ὡς εἰς Ῥώμην πορευόμενος. Αὖθις δ' ἀλύων καὶ μεταβαλλόμενος κατῄει πρὸς θάλασσαν εἰς Ἄστυρα. Κἀκεῖ διενυκτέρευσεν ἐπὶ δεινῶν καὶ ἀπόρων λογισμῶν*(7), *ὅς γε καὶ παρελθεῖν εἰς τὴν Καίσαρος*(8) *διενοήθη κρύφα*(9) *καὶ σφάξας ἑαυτὸν ἐπὶ τῆς ἑστίας ἀλάστορα προσβαλεῖν*(10). *Ἀλλὰ καὶ ταύτης αὐτὸν ἀπέκρουσε τῆς ὁδοῦ δέος βασάνων· καί, πολλὰ ταραχώδη καὶ παλίντροπα βουλεύματα τῇ γνώμῃ μεταλαμβάνων*(11), *παρέδωκε τοῖς οἰκέταις ἑαυτὸν εἰς Καιήτας*(12) *κατὰ πλοῦν*(13) *κομίζειν, ἔχων ἐκεῖ χωρία καὶ καταφυγὴν ὥρᾳ θέρους φιλάνθρωπον, ὅταν ἥδιστον οἱ ἐτησίαι καταπνέωσιν. Ἔχει δ' ὁ τόπος καὶ ναὸν Ἀπόλλωνος μικρὸν ὑπὲρ τῆς θαλάσσης. Ἐντεῦθεν ἀρθέντες ἀθρόοι κόρακες ὑπὸ κλαγγῆς*(14) *προσεφέροντο τῷ πλοίῳ τοῦ Κικέρωνος ἐπὶ γῆν ἐρεσσομένῳ· καὶ κατασχόντες*(15) *ἐπὶ τὴν κεραίαν ἑκατέρωθεν οἱ μὲν ἐβόων, οἱ δ' ἔκοπτον τὰς τῶν μηρυμάτων ἀρχάς*(16), *καὶ πᾶσιν ἐδόκει τὸ σημεῖον πονηρὸν εἶναι. Ἀπέβη δ' οὖν ὁ Κικέρων, καὶ παρελθὼν εἰς τὴν ἔπαυλιν, ὡς ἀναπαυσόμενος κατεκλίθη. Τῶν δὲ κοράκων οἱ πολλοὶ μὲν ἐπὶ τῆς θυρίδος διεκάθηντο φθεγγόμενοι θορυβῶδες, εἷς δὲ καταβὰς*(17) *ἐπὶ τὸ κλινίδιον, ἐγκεκαλυμμένου τοῦ Κικέρωνος ἀπῆγε τῷ στόματι*(18) *κατὰ μικρὸν ἀπὸ τοῦ προσώπου τὸ ἱμάτιον. Οἱ δ' οἰκέται ταῦθ' ὁρῶντες καὶ κακίσαντες ἑαυτούς, εἰ περιμενοῦσι τοῦ*

---

6. *Κιρκαίου* **Le Circeium promontorium**, où se trouve la ville de *Circei*. Il faut prendre la carte pour suivre ces allées et venues de Cicéron.

7. *Ἐπὶ .... λογισμῶν.* Amyot: «Il demoura toute la nuict en grande destresse et grande agonie de divers pensemens.»

8. *Τὴν Καίσαρος*: sous-entendu *οἰκίαν*.

9. *Κρύφα* tombe sur *παρελθεῖν*.

10. *Σφάξας ... προσβαλεῖν*, «et se tuer luymesme à son foyer, pour lui attacher les furies vengeresses de son sang.» (Amyot.)

11. *Μεταλαμβάνειν*, laisser ou quitter une chose pour en reprendre une autre.

12. *Καιήτας*. En latin: *Caieta, -ae.* Aujourd'hui Gaëte. Cicéron possédait une villa appelée *Formianum*.

13. *Κατὰ πλοῦν* revient au français: *par mer*.

14. *Ὑπὸ κλαγγῆς*, «avec grands cris.» (Amyot.)

15. *Κατασχόντες*, intransitivement, *étant allés*.

16. *Τὰς τῶν μηρυμάτων ἀρχάς*, les bouts des cordages.

17. *Καταβάς*, expression singulière en parlant d'un corbeau. On attendrait plutôt *καταπτάς*. Wyttenbach croit que c'est ce dernier verbe qu'a employé Plutarque, et que *καταβάς* est une faute de copie.

18. *Τῷ στόματι*, avec le bec. — Construisez: *τὸ ἱμάτιον τοῦ Κικέρωνος ἐγκεκαλυμμένου.*

δεσπότου φονευομένου θεαταὶ γενέσθαι, θηρία δ' αὐτῷ βοηθεῖ καὶ προκήδεται παρ' ἀξίαν πράττοντος(19), *αὐτοὶ δ' οὐκ ἀμύνουσι, τὰ μὲν δεόμενοι, τὰ δὲ βίᾳ λαβόντες ἐκόμιζον ἐν τῷ φορείῳ πρὸς τὴν θάλασσαν.*

CHAPITRE XLVIII.

Ἐν τούτῳ(1) *δ' οἱ σφαγεῖς ἐπῆλθον, ἑκατοντάρχης Ἑρέννιος*(2) *καὶ Ποπίλλιος χιλίαρχος, ᾧ πατροκτονίας ποτὲ δίκην φεύγοντι συνεῖπεν ὁ Κικέρων*(3), *ἔχοντες ὑπηρέτας. Ἐπεὶ δὲ τὰς θύρας κεκλεισμένας εὗρον, ἐξέκοψαν· οὐ φαινομένου δὲ τοῦ Κικέρωνος, οὐδὲ τῶν ἔνδον εἰδέναι φασκόντων*(4), *λέγεται νεανίσκον τινὰ τεθραμμένον μὲν ὑπὸ τοῦ Κικέρωνος ἐν γράμμασιν ἐλευθερίοις καὶ μαθήμασιν, ἀπελεύθερον δὲ Κοΐντου τοῦ ἀδελφοῦ, Φιλόλογον*(5) *τοὔνομα, φράσαι τῷ χιλιάρχῳ τὸ φορεῖον κομιζόμενον*(6) *διὰ τῶν καταφύτων καὶ συσκίων περιπάτων ἐπὶ τὴν θάλασσαν. Ὁ μὲν οὖν χιλίαρχος ὀλίγους ἀναλαβὼν μεθ' ἑαυτοῦ περιέθεε*(7) *πρὸς*

---

19. *Παρ' ἀξίαν πράττοντος* (locution formée d'après l'analogie de *κακῶς πράττειν*), qui est dans une position imméritée, qui est indignement traité.

Ch. XLVIII.] 1. *Ἐν τούτῳ*, sur ces entrefaites.

2. Ce centurion Herennius n'est pas connu d'ailleurs.

3. *Ποπίλλιος χιλίαρχος*. Sénèque le rhéteur dit de lui dans les *Controversiae* (VII, II, 8): «Popillium pauci ex historicis tradiderunt interfectorem Ciceronis, et hi quoque non paricidi reum a Cicerone defensum, sed in privato judicio: *declamatoribus placuit parricidi reum fuisse.*» Le même Sénèque rapporte dans les *Suasoriae* (VI, 20), parmi le recueil des témoignages des historiens relatifs à la mort de Cicéron, celui-ci, de Bruttedius Niger: «Elapsus interim altera parte villæ Cicero lectica per agros ferebatur; sed ut vidit adpropinquare notum sibi militem Popillium nomine, memor defensum a se, lætiore vultu adspexit. At ille victoribus id ipsum imputaturus occupat facinus,» etc.

4. *Οὐ φαινομένου δὲ τοῦ Κικέρωνος, οὐδὲ τῶν ἔνδον εἰδέναι φασκόντων.* Amyot: «Ne trouvans point Ciceron, *ilz demanderent* à ceulx du logis *où il estoit.* Ilz respondirent qu'ilz n'en sçavoient rien.» On remarquera que les mots ici soulignés n'ont pas d'équivalents dans le grec. Il faut sous-entendre cette question des soldats.

5. Il paraît bien que cet affranchi, appelé *Philologus* par Plutarque, est le même que le *Philogonus* mentionné par Cicéron dans une lettre à son frère Quintus (I, III, 4): «Scripsi et dedi litteras ad te *Philogono* liberto tuo.» Il serait difficile de dire si les manuscrits de Cicéron ont ici la vraie leçon ou si c'est Philologus qui est le véritable nom du personnage.

6. *Φράσαι τὸ φορεῖον κομιζόμενον.* Cet emploi du participe est particulier au grec. On dirait en latin: indicasse lecticam *deferri.* — De même, dans la phrase suivante, *Ἑρεννίου δρόμῳ φερομένου ᾔσθετο*, il entendit Herennius accourir.

7. *Περιέθεε.* Un écrivain attique eût contracté et n'eût pas dit autrement que *περιέθει.*

τὴν ἔξοδον· τοῦ δ' Ἑρεννίου δρόμῳ φερομένου διὰ τῶν περιπάτων ὁ Κικέρων ᾔσθετο, καὶ τοὺς οἰκέτας ἐκέλευσεν ἐνταῦθα καταθέσθαι τὸ φορεῖον. Αὐτὸς δ', ὥσπερ εἰώθει, τῇ ἀριστερᾷ χειρὶ τῶν γενείων ἁπτόμενος, ἀτενὲς ἐνεώρα τοῖς σφαγεῦσιν, αὐχμοῦ καὶ κόμης ἀνάπλεως καὶ συντετηκὼς ὑπὸ φροντίδων τὸ πρόσωπον(8), ὥστε τοὺς πλείστους ἐγκαλύψασθαι, τοῦ Ἑρεννίου σφάζοντος αὐτόν. Ἐσφάγη δὲ τὸν τράχηλον ἐκ τοῦ φορείου προτείνας(9), ἔτος ἐκεῖνο γεγονὼς ἑξηκοστὸν καὶ τέταρτον(10). Τὴν δὲ κεφαλὴν ἀπέκοψαν(11) αὐτοῦ καὶ τὰς χεῖρας, Ἀντωνίου κελεύσαντος, αἷς τοὺς Φιλιππικοὺς ἔγραψεν. Οὕτως γὰρ ὁ Κικέρων τοὺς κατ' Ἀντωνίου λόγους ἐπέγραψε, καὶ μέχρι νῦν τὰ βιβλία(12) Φιλιππικοὶ καλοῦνται.

CHAPITRE XLIX.

Τῶν δ' ἀκρωτηρίων εἰς Ῥώμην κομισθέντων, ἔτυχε μὲν ἀρχαιρεσίας συντελῶν ὁ Ἀντώνιος, ἀκούσας δὲ καὶ ἰδών(1), ἀνεβόησεν ὡς νῦν αἱ προγραφαὶ τέλος ἔχοιεν(2). Τὴν δὲ κεφαλὴν καὶ τὰς χεῖρας ἐκέλευσεν ὑπὲρ τῶν ἐμβόλων(3) ἐπὶ τοῦ βήματος θεῖναι, θέαμα Ῥωμαίοις φρικτόν, οὐ τὸ Κικέρωνος ὁρᾶν πρόσωπον οἰομένοις, ἀλλὰ τῆς Ἀντωνίου ψυχῆς εἰκόνα. Πλὴν ἕν γέ τι φρονήσας μέτριον ἐν τούτοις(4), Πομπωνίᾳ τῇ Κοΐντου γυναικί, τὸν Φιλόλογον παρέδωκεν. Ἡ δέ, κυρία γενομένη τοῦ σώματος(5), ἄλλαις τε δειναῖς ἐχρήσατο τιμωρίαις, καὶ τὰς σάρκας ἀποτέμνοντα τὰς ἑαυτοῦ κατὰ μικρὸν ὀπτᾶν, εἶτ' ἐσθίειν ἠνάγκασεν(6). Οὕτω

---

8. Amyot rend librement, d'ailleurs fort bien, *συντετηκὼς ὑπὸ τῶν φροντίδων τὸ πρόσωπον*: «le visage desfaict et cousu pour les ennuis qu'il avoit supportez.»
9. Cf. Tite-Live, dans un fragment du livre CXX de ses Histoires: *Prominenti ex lectica* præbentique immotam cervicem caput præcisum est.»
10. Dans sa 64ᵉ année. Il lui manquait 26 jours pour avoir 64 ans accomplis. Le jour de sa mort fut le 7 décembre de l'an 43 av. J.-C.
11. Le sujet est *οἱ σφαγεῖς* sous-entendu.
12. *Τὰ βιβλία*, *ces* livres.

Ch. XLIX. 1. *Ἀκούσας καὶ ἰδών*, audita *re* et visis *membris*.
2. *Τέλος ἔχοιεν*, étaient finies.
3. *Τῶν ἐμβόλων*. Voy. la note 4 du ch. XXIII.
4. Amyot: «Entre tant de mauvais actes (*ἐν τούτοις*) Antonius en feit seul (*ἕν γέ τι*) où il y eut quelque apparence de bien (*φρονήσας μέτριον*) »
5. *Τοῦ σώματος*, «de *ce* corps», ce qui revient à dire: maîtresse de faire ce qu'elle voulait de Philologus.
6. *Ἠνάγκασεν*, s.-ent. *αὐτόν*.

γὰρ ἔνιοι τῶν συγγραφέων ἱστορήκασιν· ὁ δ' αὐτοῦ τοῦ Κικέρω ἀπελεύθερος Τίρων(7) τὸ παράπαν οὐδὲ(8) μέμνηται τῆς Φιλολόγου προδοσίας.

Πυνθάνομαι δὲ Καίσαρα(9), χρόνοις πολλοῖς ὕστερον, εἰσελϑ πρὸς ἕνα τῶν θυγατριδῶν· τὸν δέ(10), βιβλίον ἔχοντα Κικέρω ἐν ταῖς χερσίν, ἐκπλαγέντα τῷ ἱματίῳ περικαλύπτειν· ἰδόντα τὸν Καίσαρα(11) λαβεῖν καὶ διελθεῖν ἑστῶτα μέρος πολὺ τοῦ βλίου, πάλιν δ' ἀποδιδόντα τῷ μειρακίῳ φάναι «Λόγιος ἀνήρ, παῖ, λόγιος καὶ φιλόπατρις.»

Ἐπεὶ μέντοι τάχιστα κατεπολέμησεν ὁ Καῖσαρ Ἀντώνιον(ὑπατεύων αὐτὸς εἵλετο συνάρχοντα(13) τοῦ Κικέρωνος τὸν υ ἐφ' οὗ(14) τάς τ' εἰκόνας ἀνεῖλεν ἡ βουλὴ τοῦ Ἀντωνίου καὶ ἄλλας ἁπάσας ἠκύρωσε τιμὰς καὶ προσεψηφίσατο μηδενὶ τ Ἀντωνίων ὄνομα Μάρκον εἶναι. Οὕτω τὸ δαιμόνιον εἰς τὸν κέρωνος οἶκον ἐπανήνεγκε τὸ τέλος τῆς Ἀντωνίου κολάσεως(

---

7. Sur Tiron, voyez ci-après le chapitre sur les sources de la *Vie Cicéron.*
8. *Τὸ παράπαν οὐδέ*, ne… absolument pas même.
9. *Καίσαρα*, Auguste.
10. *Τὸν δέ*, celui-ci, le petit-fils.
11. *Τὸν Καίσαρα ἰδόντα* (l'ayant vu) est le sujet des infinitifs *λαβ διελθεῖν*, etc.
12. A la bataille d'Actium.
13. Pour une partie de l'année 30 av. J.-C.
14. *Ἐφ' οὗ*, pendant le consulat duquel.
15. Le sens est que: le dernier des châtiments que subit Antoine fut infligé par un Cicéron.

ΔΗΜΟΣΘΕΝΟΥΣ ΚΑΙ ΚΙΚΕΡΩΝΟΣ

ΣΥΓΚΡΙΣΙΣ

CHAPITRE PREMIER.

Ἃ μὲν οὖν ἄξια μνήμης τῶν περὶ Δημοσθένους καὶ Κικέρωνος ἱστορουμένων εἰς τὴν ἡμετέραν ἀφῖκται γνῶσιν, ταῦτ' ἐστίν. Ἀφεκτικῶς δὲ τὸ συγκρίνειν τὴν ἐν τοῖς λόγοις ἕξιν αὐτῶν(1), ἐκεῖνό μοι δοκῶ μὴ παρήσειν ἄρρητον, ὅτι Δημοσθένης μὲν εἰς τὸ ῥητορικὸν ἐνέτεινε πᾶν, ὅσον εἶχεν ἐκ φύσεως ἢ ἀσκήσεως λόγιον, ὑπερβαλλόμενος ἐναργείᾳ(2) μὲν καὶ δεινότητι τοὺς ἐπὶ τῶν ἀγώνων(3) καὶ τῶν δικῶν συνεξεταζομένους, ὄγκῳ δὲ καὶ μεγαλοπρεπείᾳ τοὺς ἐπιδεικτικούς(4), ἀκριβείᾳ δὲ καὶ τέχνῃ τοὺς σοφιστάς(5)· Κικέρων δέ, καὶ πολυμαθὴς καὶ ποικίλος τῇ περὶ τοὺς λόγους σπουδῇ γενόμενος, συντάξεις μὲν ἰδίας φιλοσόφους ἀπολέλοιπεν οὐκ ὀλίγας εἰς τὸν Ἀκαδημαϊκὸν τρόπον(6), οὐ μὴν ἀλλὰ καὶ διὰ τῶν πρὸς τὰς δίκας καὶ τοὺς ἀγῶνας γραφομένων λόγων δῆλός ἐστιν ἐμπειρίαν τινὰ γραμμάτων παρενδείκνυσθαι βουλόμενος.

Ἔστι δέ τις καὶ τοῦ ἤθους ἐν τοῖς λόγοις ἑκατέρου δίοψις(7). Ὁ μὲν γὰρ Δημοσθένης, ἔξω παντὸς ὡραϊσμοῦ καὶ παιδιᾶς εἰς δεινότητα καὶ σπουδὴν συνηγμένος, οὐκ ἐλλυχνίων ὄδωδεν, ὥσπερ

Ch. I.] 1. Voy. le premier alinéa du chapitre III de la *Vie de Démosthène*.

2. Denys d'Halicarnasse définit l'*ἐνάργεια* ainsi: *Δύναμίς τις ὑπὸ τὰς αἰσθήσεις ἄγουσα τὰ λεγόμενα*, la faculté de rendre sensible ce dont on parle.

3. *Ἀγώνων*, *procès*, surtout *grand procès*.

4. *Τοὺς ἐπιδεικτικούς*, les auteurs appartenant au genre démonstratif, ou genre des panégyriques, oraisons funèbres, etc.

5. *Τοὺς σοφιστάς*, les maîtres de rhétorique.

6. *Εἰς τὸν Ἀκαδημαϊκὸν τρόπον*, dans le genre de la *nouvelle* Académie.

7. *Ἔστι... δίοψις*. Amyot: «Et d'avantage peut-on aussi veoir à travers leurs stiles quelque umbre de leur naturel.»

ὁ Πυθέας ἔσκωπτεν(8), *ἀλλ' ὑδροποσίας καὶ φροντίδων καὶ τῆς λεγομένης πικρίας τοῦ τρόπου καὶ στυγνότητος· Κικέρων δέ, πολλαχοῦ τῷ σκωπτικῷ πρὸς τὸ βωμολόχον ἐκφερόμενος, καὶ πράγματα σπουδῆς ἄξια γέλωτι καὶ παιδιᾷ κατειρωνευόμενος ἐν ταῖς δίκαις εἰς τὸ χρειῶδες*(9), *ἠφείδει τοῦ πρέποντος, ὥσπερ ἐν τῇ Καιλίου συνηγορίᾳ*(10) · *«Μηδὲν ἄτοπον ποιεῖν αὐτὸν ἐν τοσαύτῃ τρυφῇ καὶ πολυτελείᾳ ταῖς ἡδοναῖς χρώμενον· τὸ γὰρ ὧν ἔξεστι μὴ μετέχειν, μανικὸν εἶναι· καὶ ταῦτα, ἐν ἡδονῇ τὸ εὐδαιμονοῦν ἐμφανέστατα τῶν φιλοσόφων τιθεμένων.»*

Λέγεται δὲ καί, Κάτωνος Μουρήναν διώκοντος(11), *ὑπατεύων ἀπολογεῖσθαι καὶ πολλὰ διὰ τὸν Κάτωνα κωμῳδεῖν τὴν Στωϊκὴν αἵρεσιν ἐπὶ ταῖς ἀτοπίαις τῶν παραδόξων λεγομένων δογμάτων· γέλωτος δὲ λαμπροῦ κατιόντος ἐκ τῶν περιεστώτων εἰς τοὺς δικαστάς, ἡσυχῇ διαμειδιάσας ὁ Κάτων πρὸς τοὺς παρακαθημένους εἰπεῖν· «Ὡς γελοῖον* (12), *ὦ ἄνδρες, ἔχομεν ὕπατον.»*

Δοκεῖ δὲ καὶ γέλωτος οἰκεῖος(13) *ὁ Κικέρων γεγονέναι καὶ φιλοσκώπτης, τό τε πρόσωπον αὐτοῦ μειδίαμα καὶ γαλήνην παρεῖχε. Τῷ δὲ Δημοσθένους ἀεί τις ἐπῆν σπουδή, καὶ τὸ φροντιστικὸν τοῦτο καὶ σύννουν οὐ ῥᾳδίως ἀπέλειπεν· ὅθεν καὶ δύσκολον αὐτὸν οἱ ἐχθροὶ καὶ δύστροπον, ὡς αὐτὸς εἴρηκεν*(14), *ἀπεκάλουν προδήλως.*

---

8. Voy. *Vie de Démosthène*, ch. VIII.

9. *Εἰς τὸ χρειῶδες*, au besoin, au moment où c'était utile.

10. Plutarque ne rend pas ici textuellement les paroles de Cicéron. Cf. *Pro M. Caelio* (XVII, § 41): « *Alii voluptatis causa omnia sapientes facere dixerunt: neque ab hac orationis turpitudine eruditi homines refugerunt; alii cum voluptate dignitatem conjungendam putaverunt... Multa enim nobis blandimenta natura ipsa genuit, quibus sopita virtus conniveret interdum...; multarum rerum jucundissimarum varietatem dedit qua non modo haec aetas* (*adolescentia*), *sed etiam jam corroborata caperetur. Quamobrem si quem forte inveneritis qui aspernetur oculis pulchritudinem rerum, non odore ullo, non tactu, non sapore capiatur, excludat auribus omnem suavitatem, huic homini ego fortasse et pauci deos propitios, plerique autem iratos putabunt.* » Si Plutarque avait eu sous les yeux ce morceau en écrivant son Parallèle, il n'en eût pas jugé si sévèrement l'auteur.

11. « Caton accusait L. Murena d'avoir corrompu le peuple par des distributions d'argent, pour se faire nommer consul avec Silanus (voy. *Vie de Cicéron*, à la fin du chap. XIV). Les railleries dont parle Plutarque se trouvent aux chapitres XXIX—XXXI du discours *Pro Murena.* » Les notes, — comme celle-ci, entre guillements et sans indication d'origine, — qu'on a rencontrées précédemment, ont été empruntées par Ch. G. à l'édition de la *Vie de Cicéron* que Fr. Dübner a publiée, à Paris, chez Lecoffre, 1872. H. G.

12. Du temps de Plutarque, *γελοῖος*, qui, dans la bonne langue attique, avait voulu dire seulement « amusant », en était venu à avoir, comme *ridiculus* en latin, deux sens, celui qu'on a dit (« amusant ») et celui de « ridicule ». Caton s'était écrié en latin: *Quam ridiculum habemus consulem!* Plutarque a pu, en traduisant, ne pas gâter la plaisanterie.

13. *Γέλωτος οἰκεῖος*, fort porté pour le rire.

14. *Αὐτὸς εἴρηκεν.* Voy. *II*e *Philippique*, § 30: *Λέγοντας ὡς ἐγὼ μὲν ὕδωρ πίνων εἰκότως δύστροπος καὶ δύσκολός εἰμί τις ἄνθρωπος.*

CHAPITRE II.

Ἔτι τοίνυν ἐν τοῖς συγγράμμασι κατιδεῖν ἔστι τὸν μὲν ἐμμελῶς καὶ ἀνεπαχθῶς τῶν εἰς αὐτὸν ἁπτόμενον ἐγκωμίων, ὅτε τούτου δεήσαι (1) πρὸς ἕτερόν τι μεῖζον, τἆλλα δὲ καὶ εὐλαβῆ καὶ μέτριον· ἡ δὲ Κικέρωνος ἐν τοῖς λόγοις ἀμετρία τῆς περιαυτολογίας ἀκρασίαν τινὰ κατηγόρει πρὸς δόξαν βοῶντος, ὡς « Τὰ ὅπλα δεῖ τῇ τηβέννῳ καὶ τῇ γλώττῃ τὴν θριαμβικὴν ὑπείκειν δάφνην (2). » Τελευτῶν δ' οὐ τὰ ἔργα καὶ τὰς πράξεις μόνον, ἀλλὰ καὶ τοὺς λόγους ἐπῄνει τοὺς εἰρημένους ὑφ' αὐτοῦ καὶ γεγραμμένους, ὥσπερ Ἀναξιμένει (3) καὶ Ἰσοκράτει τοῖς σοφισταῖς διαμειρακιευόμενος (4), οὐ τὸν Ῥωμαίων δῆμον ἄγειν ἀξιῶν καὶ ὀρθοῦν,

Βριθίν, ὁπλιτοπάλαν, δάϊον ἀντιπάλοις (5).

Ἰσχύειν μὲν γὰρ διὰ λόγου τὸν πολιτευόμενον ἀναγκαῖον, ἀγαπᾶν δ' ἀγεννὲς καὶ λιχνεύειν τὴν ἀπὸ τοῦ λόγου δόξαν (6). Ὅθεν ἐμβριθέστερος ταύτῃ καὶ μεγαλοπρεπέστερος ὁ Δημοσθένης, τὴν μὲν αὐτοῦ δύναμιν ἐμπειρίαν τινὰ πολλῆς δεομένην τῆς παρὰ τῶν ἀκροωμένων εὐνοίας (7) ἀποφαινόμενος, ἀνελευθέρους δὲ καὶ βαναύσους, ὥσπερ εἰσί, τοὺς ἐπὶ τούτῳ φυσωμένους (8) ἡγούμενος.

Ch. II.] 1. Ὅτε δεήσαι (et non ὅταν δεήσῃ), parce que, dans ἁπτόμενον, est contenu en réalité un passé: Ἥπτετο τῶν εἰς αὐτὸν ἐγκωμίων (ὡς ἔτι νῦν ἐν τοῖς συγγράμμασι κατιδεῖν ἔστι).

2. Τὰ ὅπλα... δάφνην. Traduction du vers célèbre de Cicéron: *Cedant arma togae; concedat laurea laudi*, dans lequel Plutarque lisait *linguae* au lieu de *laudi*. La leçon *laudi* a pour elle le témoignage de Cicéron lui-même, qui commente ce vers dans son discours *in L. Pisonem*, xxix—xxx.

3. Ἀναξιμένει. Sur Anaximène de Lampsaque, voy. la note 10 du chap. xxviii de la *Vie de Démosthène*.

4. Διαμειρακιευόμενος. Coraï interprète bien ce mot: Μειρακίου δίκην ἁβρυνόμενος καὶ διερίζων. Τοῦτο γὰρ σημαίνει ἐνθάδε ἡ διὰ πρόθεσις.

5. Vers d'Eschyle, tiré d'une pièce aujourd'hui perdue.

6. Quintilien apprécie le genre de vanité de Cicéron avec plus de justesse que Plutarque. Voy. *Institution oratoire*, XI, i, 17—26: «*Cicero .... rerum a se gestarum major quam eloquentiae fuit in orationibus utique jactator*,» etc.

7. Plutarque se souvient ici de ce passage de Démosthène dans le discours de la *Couronne* (§ 277): Κἀκεῖν' εὖ οἶδ' ὅτι τὴν ἐμὴν δεινότητα — ἔστω γάρ (καίτοι ἔγωγ' ὁρῶ τῆς τῶν λεγόντων δυνάμεως τοὺς ἀκούοντας τὸ πλεῖστον κυρίους· ὡς γὰρ ἂν ὑμεῖς ἀποδέξησθε καὶ πρὸς ἕκαστον ἔχητ' εὐνοίας, οὕτως ὁ λέγων ἔδοξε φρονεῖν)· εἰ δ' οὖν ἔστι καὶ παρ' ἐμοί τις ἐμπειρία τοιαύτη, κτλ.

8. Φυσωμένους, enflés (d'orgueil).

CHAPITRE III.

Ἡ μὲν οὖν ἐν τῷ δημηγορεῖν καὶ πολιτεύεσθαι δύναμις ὁμαλῶς ἀμφοτέροις ὑπῆρξεν, ὥστε καὶ τοὺς τῶν ὅπλων καὶ στρατοπέδων κυρίους δεῖσθαι, Δημοσθένους μὲν Χάρητα(1) *καὶ Διοπείθην*(2) *καὶ Λεωσθένην*(3), *Κικέρωνος δὲ Πομπήϊον καὶ Καίσαρα τὸν νέον, ὡς αὐτὸς ὁ Καῖσαρ ἐν τοῖς πρὸς Ἀγρίππαν καὶ Μαικήναν ὑπομνήμασιν*(4) *εἴρηκεν. Ὃ δὲ δοκεῖ μάλιστα καὶ λέγεται τρόπον ἀνδρὸς ἐπιδεικνύναι καὶ βασανίζειν, ἐξουσία καὶ ἀρχή, πᾶν πάθος κινοῦσα καὶ πᾶσαν ἀποκαλύπτουσα κακίαν*(5), *Δημοσθένει μὲν οὐχ ὑπῆρξεν, οὐδ' ἔδωκε τοιαύτην διάπειραν ἑαυτοῦ, μηδεμίαν ἀρχὴν τῶν ἐπιφανῶν ἄρξας, ὃς οὐδὲ τῆς ὑφ' αὑτοῦ συντεταγμένης ἐπὶ Φίλιππον ἐστρατήγησε δυνάμεως· Κικέρων δὲ ταμιεύσας μὲν εἰς Σικελίαν, καὶ ἀνθύπατος εἰς Κιλικίαν καὶ Καππαδοκίαν ἀποσταλείς, — ἐν ᾧ καιρῷ, τῆς φιλοπλουτίας ἀκμαζούσης, καὶ τῶν πεμπομένων στρατηγῶν καὶ ἡγεμόνων, ὡς τοῦ κλέπτειν ἀγεννοῦς ὄντος, ἐπὶ τὸ ἁρπάζειν τρεπομένων, οὐ τὸ λαμβάνειν ἐδόκει δεινόν, ἀλλ' ὁ μετρίως τοῦτο ποιῶν ἠγαπᾶτο, — πολλὴν μὲν ἐπίδειξιν ὑπεροψίας χρημάτων ἐποιήσατο, πολλὴν δὲ φιλανθρωπίας καὶ χρηστότητος. Ἐν αὐτῇ δὲ τῇ Ῥώμῃ λόγῳ μὲν ἀποδειχθεὶς ὕπατος, ἐξουσίαν δὲ λαβὼν αὐτοκράτορος*(6) *καὶ δικ-*

Ch. III.] 1. Chares, fils de Theochares, fut souvent employé comme général par les Athéniens dans les guerres qu'ils firent depuis 367 jusqu'à la journée de Chéronée (en 338), dans laquelle il commandait l'armée athénienne, avec deux autres généraux aussi incapables que lui. Malgré son peu d'habileté, il eut la chance de remporter quelques succès dans sa carrière militaire.

2. Diopithe, de Sunium, conduisit une colonie athénienne, au milieu du IVe siècle, dans la Chersonèse de Thrace, qui était d'ailleurs une ancienne possession athénienne; il guerroya dans cette contrée contre Philippe et la ville de Cardie, alliée de ce roi (342—341). Le discours de Démosthène *sur les affaires de Chersonèse* a été prononcé en sa faveur dans l'assemblée du peuple.

3. Sur Léosthène, voy. la note 2 du ch. XXVII de la *Vie de Démosthène*.

4. Suétone (*Auguste*, 85) « .... Et aliqua *De vita sua*, quam tredecim libris, Cantabrico tenus bello nec ultra, exposuit. » Cf. la note 15 du ch. XLV de la *Vie de Cicéron*.

5. Souvenir de Sophocle (*Antigone*, v. 175—177): *Ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν | ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν | ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.*

6. *Αὐτοκράτορος*, d'un empereur. Plutarque compare le pouvoir de Cicéron pendant l'année de son consulat à celui des empereurs qu'il y eut plus tard.

τάτορος ἐπὶ τοὺς περὶ Κατιλίναν, ἐμαρτύρησε τῷ Πλάτωνι μαντευομένῳ παῦλαν ἕξειν κακῶν τὰς πόλεις, ὅταν εἰς ταὐτὸ δύναμίς τε μεγάλη καὶ φρόνησις ἔκ τινος τύχης χρηστῆς ἀπαντήσῃ μετὰ δικαιοσύνης(7).

Χρηματίσασθαι τοίνυν ἀπὸ τοῦ λόγου Δημοσθένης μὲν ἐπιψόγως λέγεται, λογογραφῶν κρύφα τοῖς περὶ Φορμίωνα καὶ Ἀπολλόδωρον ἀντιδίκοις, καὶ διαβληθεὶς μὲν ἐπὶ τοῖς βασιλικοῖς χρήμασιν, ὀφλὼν δὲ τῶν Ἁρπαλείων(8). Εἰ δὲ ταῦτα τοὺς γράφοντας οὐκ ὀλίγοι δ' εἰσί) ψεύδεσθαι φαίημεν, ἀλλ' ὅτι γε πρὸς δωρεὰς βασιλέων σὺν χάριτι καὶ τιμῇ διδομένας ἀντιβλέψαι Δημοσθένης οὐκ ἂν ἐτόλμησεν(9), οὐδ' ἦν τοῦτο ἔργον ἀνθρώπου δανείζοντος ἐπὶ ναυτικοῖς(10), ἀμήχανον ἀντειπεῖν. Περὶ δὲ Κικέρωνος, ὅτι καὶ Σικελιωτῶν ἀγορανομοῦντι καὶ βασιλέως τοῦ Καππαδοκῶν ἀνθυπατεύοντι καὶ τῶν ἐν Ῥώμῃ φίλων, ὅτε τῆς πόλεως ἐξέπιπτε, δωρουμένων πολλὰ καὶ δεομένων λαβεῖν ἀντέσχεν, εἴρηται.

CHAPITRE IV.

Καὶ μὴν ἥ γε φυγὴ τῷ μὲν αἰσχρᾶς κλοπῆς ἁλόντι συνέπεσε, τῷ δὲ διὰ κάλλιστον ἔργον ἀνθρώπους ἀλιτηρίους τῆς πατρίδος ἐκκόψαντι. Διὸ τοῦ μὲν οὐδεὶς λόγος ἐκπίπτοντος· ἐφ' ᾧ(1) δ' ἡ σύγκλητος ἐσθῆτά τε διήλλαξε καὶ πένθος ἔσχε καὶ γνώμην ὑπὲρ οὐδενὸς εἰπεῖν ἐπείσθη πρότερον ἢ Κικέρωνι τὴν κάθοδον ψηφίσασθαι(2). Τὴν μέντοι φυγὴν ἀργῶς ὁ Κικέρων διήνεγκεν

---

7. Platon (*République*, l. V, ch. xviii, p. 473 D): *Ἐὰν μὴ ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν ἢ οἱ βασιλεῖς τε νῦν λεγόμενοι καὶ δυνάσται φιλοσοφήσωσι γνησίως τε καὶ ἱκανῶς καὶ τοῦτο εἰς ταὐτὸν ξυμπέσῃ, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία, τῶν δὲ νῦν πορευομένων χωρὶς ἐφ' ἑκάτερον αἱ πολλαὶ φύσεις ἐξ ἀνάγκης ἀποκλεισθῶσιν, οὐκ ἔστι κακῶν παῦλα, ὦ φίλε Γλαύκων, ταῖς πόλεσι, δοκῶ δ' οὐδὲ τῷ ἀνθρωπίνῳ γένει.* Comp. encore la VIIe lettre de Platon (page 335 D): *Οὐκ ἄν ποτε γένοιτο εὐδαίμων οὔτε πόλις οὔτ' ἀνὴρ οὐδείς, ὃς ἂν μὴ μετὰ φρονήσεως ὑπὸ δικαιοσύνῃ διαγάγῃ τὸν βίον, ἤτοι ἐν αὑτῷ κεκτημένος ἢ ὁσίων ἀνδρῶν ἀρχόντων ἐν ἤθεσι τραφεὶς τε καὶ παιδευθεὶς ἐνδίκως.*

8. Voy. *Vie de Démosthène*, chap. xv et xxv—xxvi.

9. *Ἂν ἐτόλμησεν.* Voy. la note 10 du ch. xxxv de la *Vie de Cicéron*.

10. *Δανείζειν ἐπὶ ναυτικοῖς*, prêter *à la grosse*, c'est-à-dire sur des navires de commerce qui servent de gage à la créance. Cette sorte de spéculation rapportait de gros intérêts.

Ch. IV.] 1. *Τοῦ μέν*, l'un, Démosthène. *Ἐφ' ᾧ δέ*, pour l'autre, pour Cicéron.

2. Voy. les chap. xxxi et xxxiii de la *Vie de Cicéron*.

ἐν Μακεδονίᾳ καθήμενος, τῷ δὲ Δημοσθένει καὶ ἡ φυγὴ μέρος μέγα τῆς πολιτείας γέγονε(3). Συναγωνιζόμενος γάρ, ὡς εἴρηται, τοῖς Ἕλλησι καὶ τοὺς Μακεδόνων πρέσβεις ἐξελαύνων ἐπήρχετο τὰς πόλεις, πολὺ βελτίων Θεμιστοκλέους καὶ Ἀλκιβιάδου παρὰ τὰς αὐτὰς τύχας διαφανεὶς πολίτης(4)· καὶ μέντοι, καὶ κατελθὼν αὖθις ἑαυτὸν ἐπέδωκεν εἰς τὴν αὐτὴν ταύτην πολιτείαν, καὶ διετέλει πολεμῶν πρὸς Ἀντίπατρον καὶ Μακεδόνας. Κικέρωνα δ' ὠνείδισεν ἐν τῇ βουλῇ Λαίλιος(5), αἰτουμένου Καίσαρος ὑπατείαν παρὰ νόμον, οὔπω γενειῶντος(6), σιωπῇ καθήμενον(7). Ἔγραφε δὲ καὶ Βροῦτος(8) ἐγκαλῶν ὡς μείζονα καὶ βαθυτέραν πεπαιδοτριβηκότι τυραννίδα τῆς ὑφ' αὐτοῦ καταλυθείσης.

CHAPITRE V.

Ἐπὶ πᾶσι δέ(1), τῆς τελευτῆς τὸν μὲν οἰκτίσαι τις ἄν(2), ἄνδρα πρεσβύτην δι' ἀγέννειαν(3) ὑπὸ οἰκετῶν ἄνω καὶ κάτω περιφερόμενον καὶ φεύγοντα(4) τὸν θάνατον καὶ ἀποκρυπτόμενον(5) τοὺς οὐ πολὺ πρὸ τῆς φύσεως(6) ἥκοντας ἐπ' αὐτόν, εἶτ' ἀποσφαγέντα· τοῦ δ', εἰ καὶ μικρὰ πρὸς τὴν ἱκεσίαν ἐνέδωκεν(7), ἀγαστὴ μὲν ἡ παρασκευὴ τοῦ φαρμάκου καὶ τήρησις, ἀγαστὴ δ'

---

3. Voy. *Vie de Cicéron*, ch. XXXII et *Vie de Démosthène*, ch. XXVII.

4. *Πολὺ βελτίων .... διαφανεὶς πολίτης*. Amyot: «En quoy faisant il se montra bien meilleur citoyen que ne feirent Themistocles ny Alcibiades en pareille fortune» (*παρὰ τὰς αὐτὰς τύχας*).

5. *Λαιλίου*. Probablement Decius Lælius, lieutenant de Pompée et, plus tard, adversaire d'Antoine.

6. *Οὔπω γενειῶντος*. Amyot: «En aage qu'il n'avoit encore poil aucun de barbe» (il s'agit d'Octave, *Καίσαρος*).

7. *Σιωπῇ καθήμενον*. Amyot: «De ce qu'il (Cicéron) se tenoit coy sans mot dire.» Mais voyez, dans la *Vie de Cicéron*, la note 2 du ch. XLVI.

8. Correspondance de Cicéron avec Brutus, liv. Ier, lettre XVII (de Brutus à Cicéron), § 2: «*Quid hoc mihi prodest, si merces Antonii oppressi poscitur in Antonii locum successio, et si vindex illius mali auctor exstitit alterius fundamentum et radices habituri altiores* (*βαθυτέραν τυραννίδα*), *si patiamur*.»

Ch. V.] 1. *Ἐπὶ πᾶσι δέ*, et «après tout» (Amyot), enfin.

2. On dit en grec comme en français: plaindre quelqu'un de quelque chose, *οἰκτίζω* (ou *οἰκτείρω*) *τινά τινος*.

3. *Δι' ἀγέννειαν*, *ob timiditatem*.

4. *Φεύγοντα*, cherchant à fuir.

5. *Ἀποκρυπτόμενον*, se cachant pour échapper à.

6. *Πρὸ τῆς φύσεως*, avant le terme naturel de ses jours.

7. Démosthène s'était réfugié dans l'asile de Posidon à Calaurie (voy. la *Vie de Démosthène*, ch. XXIX).

ἡ χρῆσις· ὅτι, τοῦ θεοῦ μὴ παρασχόντος αὐτῷ τὴν ἀσυλίαν, ὥσπερ ἐπὶ μείζονα βωμὸν καταφυγὼν, ἐκ τῶν ὅπλων καὶ τῶν δορυφόρων λαβὼν ἑαυτὸν ᾤχετο, τῆς Ἀντιπάτρου καταγελάσας ὠμότητος (8).

8. Ὅτι, τοῦ θεοῦ... ὠμότητος. Amyot: « Car puis qu'il ne plaisoit pas au dieu Neptune qu'il jouist de la franchise de son autel, il eut recours, par maniere de dire, à une plus grande, qui est la mort, et s'y en alla, en se tirant soy mesme hors des mains et des armes des satellites d'un tyran, et se mocquant de la cruaulté d'Antipater. »

SOURCES

DE LA VIE DE CICÉRON

PAR PLUTARQUE.

Plutarque, qui, pendant ses voyages en Italie, avait appris p ou moins à fond la langue du pays, ne se mit sérieusement lire la littérature latine qu'après qu'il se fut retiré, à l'âge quarante-cinq à cinquante ans, dans sa ville natale de Chéron pour n'en plus bouger désormais jusqu'à la fin de ses jours(La collection des œuvres de Cicéron se trouvait, dans ce temp plus au complet que nous ne la possédons à présent[2]. Pl tarque avait-il tout Cicéron dans sa bibliothèque? Il le pouva s'il le voulait. Quelles parties de ses œuvres a-t-il lues? C'e ce qu'il est difficile aujourd'hui de savoir au juste. Toujou est-il qu'en plusieurs endroits de ses biographies, il parle d ouvrages en général[3], et, d'autres fois, de certains ouvrag en particulier du grand orateur romain, comme quelqu'un qu les a pratiqués. Obéissant à un sentiment de réserve qui con vient à un étranger, il s'abstient, il est vrai, d'instituer un comparaison du style de Cicéron avec celui de Démosthène; mais on sent pourtant qu'il le connaît et que, s'il réserve son

1. Voyez ci-dessus les notes 2 et 3 de la page 303, et le passage de la *Vie de Démosthène* qui se termine ainsi (chap. II): *Ὀψέ ποτε καὶ πόρρω τῆς ἡλικίας ἠρξάμεθα Ῥωμαϊκοῖς συντάγμασιν ἐντυγχάνειν.*

2. Voy. par exemple, ci-dessous, pages 491–492, les nos 2, 3, 4, 8, 9.

3. *Vie de Cicéron*, chap. XXIV: *Ἀπήλλακτο τοῦ φθονεῖν ἑτέροις, ἀφθονώτατος ὢν ἐν τῷ τοὺς πρὸ αὐτοῦ καὶ τοὺς καθ' αὑτὸν ἄνδρας ἐγκωμιάζειν, ὡς ἐκ τῶν συγγραμμάτων λαβεῖν ἔστι.*

appréciation sur le talent de Cicéron, il n'en a pas moins remporté de la lecture de cet auteur une impression personnelle (1).

Dans plusieurs passages de la *Vie de Cicéron*, Cicéron est expressément cité :

1. Chapitre VI. Plaisante aventure de Cicéron à son retour de Sicile (*γελοῖόν τι παθεῖν φησι.*)

2. Chapitre XX. Appréciation du caractère de la femme de Cicéron, Terentia (*καὶ γὰρ οὐδ' ἄλλως ἦν πρᾳεῖά τις κτλ., ὡς αὐτός φησιν ὁ Κικέρων*).

3. Chapitre XXIV. Jugement de Cicéron sur Démosthène, *Dormitare interim Demosthenem* (*καίτοι τινὲς τῶν προσποιουμένων δημοσθενίζειν ἐπιφύονται φωνῇ τοῦ Κικέρωνος, ἣν πρός τινα τῶν ἑταίρων ἔθηκεν ἐν ἐπιστολῇ γράψας*).

4. Même chapitre, un peu plus bas. A propos du droit de cité romaine accordé à Cratippe, et d'une délibération de l'Aréopage prise en l'honneur du même, *ἐπιστολαὶ περὶ τούτων Κικέρωνός εἰσι πρὸς Ἡρώδην*. Puis : *Ἑτέραι δὲ πρὸς τὸν υἱόν, ἐγκελευομένου συμφιλοσοφεῖν Κρατίππῳ.*

5. Chapitre XXXIII. Enthousiasme de l'Italie lors du retour d'exil de Cicéron (*ἔφη γὰρ αὐτὸν ἐπὶ τῶν ὤμων τὴν Ἰταλίαν φέρουσαν εἰς τὴν Ῥώμην εἰσενεγκεῖν*).

6. Chapitre XXXVII. Indécision de Cicéron au moment de l'explosion de la guerre civile entre César et Pompée (*τὰ μὲν οὖν ἐν ταῖς Ἐπιστολαῖς γεγραμμένα τοιαῦτά ἐστι*).

7. *Parallèle*, chapitre Ier : *Κικέρων δὲ πολλαχοῦ . . . πράγματα σπουδῆς ἄξια γέλωτι καὶ παιδιᾷ κατειρωνευόμενος ἐν ταῖς δίκαις εἰς τὸ χρειῶδες, ἠφείδει τοῦ πρέποντος ὥσπερ ἐν τῇ Καιλίου συνηγορίᾳ· « Μηδὲν ἄτοπον ποιεῖν κτλ. »*

Il est d'autres endroits où, sans que le nom de Cicéron soit prononcé, il n'en est pas moins certain que Cicéron est la source de Plutarque. Exemples :

1. Par exemple, dans le préambule commun aux Vies de Démosthène et de Cicéron (ch. II) : *Κάλλους δὲ Ῥωμαϊκῆς ἀπαγγελίας καὶ τάχους αἰσθάνεσθαι καὶ μεταφορᾶς ὀνομάτων καὶ ἁρμονίας καὶ τῶν ἄλλων, οἷς ὁ λόγος ἀγάλλεται, χαρίεν μὲν ἡγούμεθα καὶ οὐκ ἀτερπές· ἡ δὲ πρὸς τοῦτο μελέτη κτλ.* Puis, un peu plus bas (ch. III) : *τὸ δὲ τοὺς λόγους ἀντεξετάζειν καὶ ἀποφαίνεσθαι πότερος ἡδίων ἢ δεινότερος εἰπεῖν, ἐάσωμεν. Κἀκεῖ γάρ, ὥς φησιν ὁ Ἴων, δελφῖνος ἐν χέρσῳ βία.* Parallèle (ch. II) : *Ἔτι τοίνυν ἐν τοῖς συγγράμμασι κατιδεῖν ἔστι τὸν μὲν* (c.-à-d. *Δημοσθένην*) *κτλ. · ἡ δὲ Κικέρωνος ἐν τοῖς λόγοις ἀμετρία τῆς περιαυτολογίας ἀκρασίαν τινὰ κατηγορεῖ πρὸς δόξαν κτλ.*

8. Chapitre XV. Épisode des lettres anonymes lors de la conspiration de Catilina. La source dans cet endroit de la Vie de Cicéron n'est pas indiquée; mais dans la Vie de Crassus on lit le même récit qui commence en ces termes: Ἐν δὲ ... Κικέρων ... τὸν Κράσσον ἀφ... κτλ.

9. Chapitre XX. Prodige de la flamme qui s'élance tout à coup d'un feu assoupi. Il n'est pas question de ce prodige dans ceux des autres historiens de la conjuration de Catilina qui sont parvenus jusqu'à nous. D'autre part, Servius nous apprend que Cicéron l'avait raconté dans le poème qu'il avait lui-même composé *De consulatu suo*. On remarque bien quelque variation, en passant du récit de Plutarque à celui de Servius, mais il est bien peu croyable que ce même prodige se soit reproduit deux années de suite sous les yeux de Terentia, et il est raisonnable d'admettre que le récit est légèrement altéré, par suite d'une faute de mémoire, soit chez l'un, soit chez l'autre auteur. Voici ce que dit Servius (à propos du vers 105 de la VIIIe Églogue): « *Hoc uxori Ciceronis legitur contigisse: cum post peractum sacrificium libare vellet in cinerem, ex ipso cinere flamma surrexit, quae flamma eodem anno consulem futurum ostendit ejus maritum: sicut Cicero in suo testatur poemate.* »

10. Ce que Plutarque sait de la jeunesse de Cicéron, surtout de son voyage en Grèce et de ses études dans l'art oratoire, ne peut avoir d'autre origine que les chapitres LXXXIX à XCI du *Brutus* de Cicéron, comme on pourra s'en convaincre en consultant l'annotation des chapitres III et IV ci-dessus, p. 408-41.

11. Il suffit de comparer les notes 5 du ch. IX, 6 et 7 du ch. XXXVII, avec les passages du texte de Plutarque auxquels elles se réfèrent, pour se rendre compte de l'usage que le biographe a fait de la correspondance de Cicéron avec Atticus.

12. A deux reprises, Plutarque rapporte des paroles de Brutus, qu'il tire, la première fois, de la correspondance de Cicéron avec Atticus, et l'autre fois de celle de Cicéron avec Brutus lui-même. Nous possédons encore, dans ces mêmes correspondances, les deux lettres de Brutus dont il s'agit. Les expressions de Plutarque sont la traduction assez exacte des termes qu'avait employés Brutus. Chapitre XLV. Ἐφ' ᾧ σφόδρα Βροῦτος ἀγανακτῶν ... Ἀττικὸν ἐπιστολαῖς καθήψατο τοῦ Κικέρωνος, ... Ἀντώνιον θεραπεύων Καίσ...

δῆλός ἐστιν οὐκ ἐλευθερίαν τῇ πατρίδι πράττων, ἀλλὰ δεσπότην φιλάνθρωπον αὑτῷ μνώμενος (*non dominum fugisse, sed* AMICIOREM DOMINUM QUAESISSE). *Parallèle*, chapitre IV, Ἔγραφε δὲ καὶ Βρούτος (Κικέρωνι) ἐγκαλῶν ὡς μείζονα καὶ βαθυτέραν πεπαιδοτριβηκότι τυραννίδα τῆς ὑφ' αὐτοῦ καταλυθείσης (*Quid hoc mihi prodest.... si vindex illius mali auctor exstitit alterius, fundamentum et radices habituri* ALTIORES, *si patiamur?* (1).

Parmi les autres sources auxquelles a puisé Plutarque pour composer la biographie de Cicéron, il a pris soin de nous en en désigner lui-même plusieurs. Mais il en est assurément plus d'une aussi, et non des moins importantes, qu'il ne nomme pas, auxquelles il ne fait pas même la moindre allusion, et qu'il sera fort malaisé aux critiques modernes de déterminer jamais. Certaines, par contre, se devinent sans aucune peine.

13. M. Tullius Tiron, affranchi et ami intime de Cicéron, recueillit pieusement, après la mort du grand homme, ses lettres et ses discours; il en prépara et en répandit des éditions; il écrivit une biographie de Cicéron, qui comprenait au mois quatre livres. Tiron avait connu mieux que personne, en Cicéron, l'homme privé: il y a lieu de croire qu'il avait insisté surtout, dans son ouvrage, sur les détails intimes et les traits de caractère. Les actes de l'homme public, au contraire, étaient sus de tous, et ils appartenaient à l'histoire: Tiron avait dû passer plus rapidement sur le côté politique de la vie de Cicéron, laissant le soin de le traiter à fond à d'autres personnages qu'un simple affranchi. Plutarque cite deux fois Tiron, une première fois au chapitre XLI, à propos du second mariage de Cicéron (ὡς δὲ Τίρων ὁ τοῦ Κικέρωνος ἀπελεύθερος γέγραφεν, εὐπορίας ἕνεκεν πρὸς διάλυσιν δανείων); puis, de nouveau, au chapitre XLIX, lorsque, après avoir retracé la scène du meurtre de Cicéron, il ajoute que, dans le récit de Tiron, on n'y voyait jouer aucun rôle à l'affranchi Philologus (ὁ δ' αὐτοῦ τοῦ Κικέρωνος ἀπελεύθερος Τίρων τὸ παράπαν οὐδὲ μέμνηται τῆς τοῦ Φιλολόγου προδοσίας). Plutarque a fait sans aucun doute de larges emprunts à la biographie écrite par Tiron. Là, son héros était assurément présenté sous un jour favorable: c'est ce qui devait plaire à Plutarque. On connaît ses habitudes; il aimait

1. Cf. *Vie de Brutus*, chap. XXII.

prendre dans des livres de seconde main l'hist
faite. Ce n'était guère son affaire de remont
ment aux documents originaux pour la compos
son idée. Il agrémentait seulement et modifiait
cits qu'il adoptait, en y mêlant des souvenirs
ou de ses conversations, et cela selon le capr
mais peu fidèle mémoire, ou de son imagination
vive. On est induit à penser, sans preuves à
tout ce qui, chez Plutarque, se rapporte à la v
céron, vient de Tiron. Dans les différends su
céron et sa femme Terentia, Tiron, on le voi
avait pris parti pour son patron, et il rejeta
rentia. Dans l'épisode de la lutte entre C
Plutarque fait remonter à un accès de ja
l'origine de la brouille entre les deux pers
fait pas jouer là un rôle précisément honorab
De là ce critique conclut que le récit de
dius dérive de la biographie de Tiron.
bien faibles pour qu'on puisse se risquer lo
vestigation. Disons nous que la ligne
qui, dans l'œuvre de Plutarque, est de T
est point, sera toujours fort malaisée,
sible à tracer.

14. Plutarque rappelle au chapitre xx
pourvu de malice, qui avait été por
dans sa réponse à l'éloge de Caton
Ὁ μὲν οὖν Κικέρωνος λόγος Κάτω
των ἐπιγέγραπται.

15. Voici maintenant, au chapitr
contre Cicéron par Antoine dans s
Ἀντώνιος δὲ τοῦ γάμου μνησθεὶς
ἀντιγραφαῖς ἐκβαλεῖν φησιν αὐτὸν
ἔντως ἅμα τὴν οἰκουρίαν ὡς ἀπ
σκώπτων τοῦ Κικέρωνος.

16. Les *Ὑπομνήματα πρὸς Ἀ*
sont cités au chapitre III du *P*
y reconnaissait qu'il avait us

1. *Die Quellen Plutarchs in de*
von H. Peter (Halle, 1865) p. 1

En somme, Plutarque indique quelquefois lui-même, et d'autres fois, en dépit de son silence, nous arrivons de notre côté à reconnaître telle source comme étant celle d'où découle telle partie de son texte. Naturellement la pureté et par suite la valeur de ce texte dépend, outre la qualité de la source, de la proximité de celle-ci. La plupart du temps, il n'est pas du tout facile de déterminer s'il n'y a pas un cours détourné et comme des étangs intermédiaires entre la source originelle et Plutarque. C'est seulement dans un petit nombre de cas qu'on est averti de l'existence de ce que nous comparons à des étangs dans le cours d'un fleuve: exemple, le n° 19 ci-dessus, où l'expression πολλὰ δ' αὐτοῦ καὶ ἀπομνημονεύουσι désigne évidemment quelque recueil. Mais nous tenons pour assuré, dans un certain nombre d'autres cas, que le courant est direct de la source au texte de Plutarque: cette opinion est surtout fondée sur la considération de plusieurs bévues ou négligences de Plutarque.

Plutarque commet (ou endosse) des erreurs de bien des genres : des fautes de mémoire, comme le remplacement de noms propres par d'autres (n. 4 du ch. XVI), des erreurs de comptes (n. 10 du ch. III, et 1 du ch. VIII), des anachronismes (n. 5 du ch. XVIII), des inexactitudes d'expression (n. 1 et 10 du ch. XVI, 5 du ch. XXII), des confusions à propos des événements de la vie de ses personnages (n. 4 du ch. III, 13 du ch. XLI), des appréciations erronées (influence de la crainte que Cicéron aurait eue de Sylla sur ses faits et gestes, aux chapitres III à V), etc. Mais le genre d'erreur sur lequel on voudrait attirer particulièrement ici l'attention, ce sont les contresens qu'il a commis en lisant les textes latins. Il n'est pas le seul des écrivains grecs de l'histoire romaine à qui ce mauvais tour soit arrivé: par exemple, la méprise relative à la cuirasse de Cicéron (n. 15 du ch. XIV) se retrouve aussi chez Dion Cassius (ce qui doit tendre à prouver qu'elle remonte à une source commune à la fois à Plutarque et à Dion, à moins que ce dernier n'ait ici pillé Plutarque). Plutarque, pour sa part, tombe fréquemment dans des fautes de cette espèce; on peut voir par là qu'il n'était certes pas « grand latin. » Ainsi il est loin d'avoir compris quel avait été l'avis émis par César dans le sénat au sujet de Lentulus et des autres conjurés (chap. XXI). Au chap. XXIX, le *N. L.* de la tablette des juges semble bien avoir été pour lui l'origine d'une sérieuse méprise. Dans quels auteurs latins

avait-il lu ces passages et d'autres, dont il n'est pas davantage sorti à son honneur? on l'ignore. Mais nous sommes, pour notre part, vivement sollicités à croire que, du moins, certaines particularités du récit de Plutarque viennent de ce qu'il avait lui-même mal compris certains mots dans des textes de Cicéron que nous possédons encore.

Ainsi, au chapitre XXXIII, Plutarque parle du frère de Cicéron laissé pour mort dans le Forum, parmi un tas de cadavres, ἐν τοῖς νεκροῖς ὡς τεθνηκότα κείμενον διαλαθεῖν. Il est seul à rapporter cela. Cicéron dit: *In comitio jacuit seque servorum et libertorum corporibus obtexit.* Le grec de Plutarque nous paraît procéder directement de ce latin, où Plutarque aura entendu fautivement *corporibus* dans le sens de «cadavres» (sens que le même mot a effectivement un peu plus bas dans la même phrase).

Une figure de rhétorique bien inattendue, c'est, à la fin du chapitre XXXVI, la comparaison que Plutarque fait d'un soulèvement politique à un phlegmon, à une tumeur: *Εἰς Ῥώμην ἐπανῆλθεν (ὁ Κικέρων), ἤδη τῶν πραγμάτων ὥσπερ ὑπὸ φλεγμονῆς ἀφισταμένων ἐπὶ τὸν ἐμφύλιον πόλεμον.* On jurerait que Plutarque a compris *flammam*, comme si c'était *inflammationem*, «une tumeur», dans le passage suivant d'une lettre de Cicéron (Ép. fam. XVI, 11) se rapportant au même temps: «*Sed incidi in ipsam flammam civilis discordiæ vel potius belli: cui cùm cuperem mederi*», etc. La métaphore *mederi* aura aidé à commettre ce contresens.

